BYZANTINE GREEK SERIES · VOLUME 43

The Centuries on Love

Maximus the Confessor

ΚΕΦΑΛΑΙΑ ΠΕΡΙ ΑΓΑΠΗΣ ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ ΜΥΣΤΑΓΩΓΙΑ

The Centuries on Love

With the Ascetic Life and the Mystagogy

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 43 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Combefis' text (Paris, 1675),
as Migne prints it in the Patrologia Graeca, vols. 90 (1860) and 91 (1863)

The Centuries set from the Wikisource keying, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margins give Migne's chapter numbers.

CONTENTS

THE CENTURIES ON LOVE

I · The Prologue and the First Century, 1–57 9
II · The First Century, 58–100 26
III · The Second Century, 1–49 42
IV · The Second Century, 50–100 65
V · The Third Century, 1–51 87
VI · The Third Century, 52–100 107
VII · The Fourth Century, 1–55 128
VIII · The Fourth Century, 56–100 146

THE ASCETIC LIFE

IX · The Ascetic Life, 1–11 167
X · The Ascetic Life, 12–22 181
XI · The Ascetic Life, 23–33 193
XII · The Ascetic Life, 34–45 209

THE MYSTAGOGY

XIII · The Mystagogy: The Prologue and Chapters 1–4 239
XIV · The Mystagogy: Chapter 5 260
XV · The Mystagogy: Chapters 6–23 276
XVI · The Mystagogy: Chapter 24 304

ΚΕΦΑΛΑΙΑ ΠΕΡΙ ΑΓΑΠΗΣ

The Centuries on Love

Maximus sends Elpidius four centuries on love gathered from the Fathers, asking him to read them with care. Love is the disposition that prefers the knowledge of God to all that is; it is born of dispassion, dispassion of hope, hope of endurance, and these of continence, fear, and faith. The one who loves God cannot hate any man, keeps the commandments, and does not hold a grudge.

Ἰδοὺ πρὸς τῷ περὶ Ἀσκητικοῦ βίου λόγῳ, καὶ τὸν περὶ
behold besides the about Ascetic life discourse also the about
Ἀγάπης λόγον πέπομφα τῇ σῇ τιμιότητι, πάτερ Ἐλπίδιε,
Love discourse I-have-sent to-the your honor father Elpidius
ἐν ἰσαρίθμοις κεφαλαίοις τῶν τεσσάρων Εὐαγγελίων
in equal-in-number chapters of-the four Gospels
ἑκατοντάσιν· οὐδὲν μὲν ἴσως ἄξιον τῆς σῆς προσδοκίας·
in-hundreds nothing indeed perhaps worthy of-the your expectation
τῆς δέ γε ἡμετέρας δυνάμεως οὐκ ἔλαττον. Πλὴν
of-the but at-least our power not less but
γινωσκέτω ἡ σὴ ἁγιωσύνη, ὅτι οὐδὲ ταῦτα εἰσὶ τῆς
let-know the your holiness that not-even these are of-the
ἐμῆς γεώργια διανοίας· ἀλλὰ τοὺς τῶν ἁγίων Πατέρων
my produce mind but the of-the holy Fathers
διελθὼν λόγους, κακεῖθεν τὸν εἰς τὴν ὑπόθεσιν
having-gone-through words and-thence the toward the subject
συντείνοντα νοῦν ἀναλεξάμενος· καὶ ἐν ὀλίγοις πολλὰ
tending sense having-gathered and in few many(-things)
κεφαλαιωδέστερον συναγαγὼν, ἵνα εὐσύνοπτα γένωνται
summarily having-brought-together so-that easy-to-survey they-might-be
διὰ τὸ εὐμνημόνευτον· ἀπέστειλα τῇ σῇ ὁσιότητι,
because-of the easy-to-remember I-sent(-them) to-the your holiness
παρακαλῶν εὐγνωμόνως ἀναγινώσκειν, καὶ μόνην θηρεύειν
beseeching(-you) kindly to-read and only to-hunt

τὴν ἐν αὐτοῖς ὠφέλειαν· τὸ δὲ ἀκαλλὲς τῆς λέξεως
the in them benefit the and inelegance of-the diction
παραβλέπειν, καὶ εὔχεσθαι ὑπὲρ τῆς ἡμῶν μετριότητος,
to-overlook and to-pray for the our mediocrity
τῆς πάσης πνευματικῆς ὠφελείας ἐρήμου. Παρακαλῶ δὲ
of-the all spiritual benefit destitute I-beseech and
καὶ τοῦτο, μὴ εἰς ὄχλησιν ἡγεῖσθαι τὰ γεγραμμένα.
also this not for annoyance to-consider the(-things) written
Ἐπιταγὴν γὰρ πεπλήρωκα. Λέγω δὲ τοῦτο, ἐπειδὴ οἱ
command for I-have-fulfilled I-say and this since the(-ones)
λόγοις ἐνοχλοῦντες, πολλοί ἐσμεν σήμερον· οἱ δὲ
with-words annoying many we-are today the(-ones) and
ἔργοις παιδεύοντες, ἢ καὶ παιδευόμενοι, πάνυ εἰσὶν ὀλίγοι.
by-deeds teaching or also being-taught very are few
Ἀλλὰ μᾶλλον ἐμπόνως προσέχειν ἑκάστῳ τῶν κεφαλαίων.
but rather laboriously to-attend to-each of-the chapters
Οὐ πάντα γὰρ πᾶσιν, ὡς οἶμαι, εἰσὶν εὔληπτα· ἀλλὰ καὶ
not all(-things) for to-all as I-think are easy-to-grasp but also
πολλῆς τὰ πολλὰ τοῖς πολλοῖς δεόμενα τῆς συνεξετάσεως,
much the many(-things) to-the many needing of-the joint-examination
εἰ καὶ δοκεῖ ἁπλούστερον εἰρῆσθαι. Ἴσως καὶ ἄν τι
if even it-seems more-simply to-have-been-said perhaps also — anything
φανείη χρήσιμον τῇ ψυχῇ ἐξ αὐτῶν ἀνακαλυπτόμενον.
may-appear useful to-the soul from them being-uncovered
Ἀναφανήσεται δὲ πάντως Θεοῦ χάριτι, τῷ ἀπεριέργοις
will-appear and surely of-God by-grace to-the(-one) with-unmeddling
ἐννοίαις καὶ μετὰ φόβου Θεοῦ καὶ ἀγάπης ἀναγινώσκοντι.
thoughts and with fear of-God and love reading
Τῷ δὲ μὴ ὠφελείας χάριν πνευματικῆς ἐντυγχάνοντι,
to-the(-one) and not of-benefit for-the-sake spiritual reading
ἢ τούτῳ τῷ πονήματι, ἢ καὶ ἄλλῳ οἱῳδήποτε. Ἀλλὰ τοῦ
either this the work or also another whatever but —

λέξεις θηρεύειν πρὸς τὸ κακίζειν τὸν συγγραψάμενον, ἵνα
words to-hunt for the to-blame the author so-that
σεαυτὸν ἐκείνου σοφώτερον δῆθεν, ὡς οἰησίας, παραστήσῃ,
yourself than-him wiser forsooth as of-conceit you-may-show
οὐδὲν ὠφέλιμον οὐδαμόθεν οὐδέποτε ἀναφανήσεται.
nothing profitable from-anywhere ever will-appear

Ἀγάπη μέν ἐστιν, διάθεσις ψυχῆς ἀγαθή. καθ' ἣν 1
love indeed is disposition of-soul good according-to which
οὐδὲν τῶν ὄντων, τῆς τοῦ Θεοῦ γνώσεως προτιμᾷ.
nothing of-the(-things) being than-the — of-God knowledge it-prefers
Ἀδύνατον δὲ εἰς ἕξιν ἐλθεῖν ταύτης τῆς ἀγάπης,
impossible and(-it-is) into habit to-come of-this the love
τὸν πρός τι τῶν ἐπιγείων ἔχοντα προσπάθειαν.
the(-one) toward anything of-the earthly(-things) having attachment

Ἀγάπην μὲν τίκτει ἀπάθεια· ἀπάθειαν δὲ, ἡ εἰς Θεὸν 2
love indeed begets dispassion dispassion and the toward God
ἐλπίς· τὴν δὲ ἐλπίδα, ὑπομονὴ καὶ μακροθυμία· ταύτας
hope the and hope endurance and long-suffering these
δὲ, ἡ περιεκτικὴ ἐγκράτεια· ἐγκράτειαν δὲ, ὁ τοῦ Θεοῦ
and the comprehensive continence continence and the — of-God
φόβος· τὸν δὲ φόβον, ἡ εἰς τὸν Κύριον πίστις.
fear the and fear the toward the Lord faith

Ὁ πιστεύων τῷ Κυρίῳ, φοβεῖται τὴν κόλασιν· ὁ 3
the(-one) believing the Lord fears the punishment the(-one)
δὲ φοβούμενος τὴν κόλασιν, ἐγκρατεύεται ἀπὸ τῶν παθῶν·
and fearing the punishment abstains from the passions
ὁ δὲ ἐγκρατευόμενος ἀπὸ τῶν παθῶν, ὑπομένει τὰ
the(-one) and abstaining from the passions endures the
θλιβερά· ὁ δὲ ὑπομένων τὰ θλιβερὰ, ἕξει εἰς Θεὸν
afflictions the(-one) and enduring the afflictions will-have toward God
ἐλπίδα· ἡ δὲ εἰς Θεὸν ἐλπὶς, χωρίζει πάσης γηΐνης
hope the and toward God hope separates from-every earthly

προσπαθείας τὸν νοῦν· ταύτης δὲ ὁ νοῦς χωρισθεὶς,
attachment the mind from-this and the mind separated
ἕξει τὴν εἰς Θεὸν ἀγάπην.
will-have the toward God love

4 Ὁ ἀγαπῶν τὸν Θεὸν, παντων τῶν ὑπ᾽ αὐτοῦ
the(-one) loving — God than-all the(-things) by him
γεγονότων προτιμᾷ τὴν γνῶσιν αὐτοῦ, καὶ ἀδιαλείπτως
made prefers the knowledge of-him and unceasingly
διὰ τοῦ πόθου, ταύτῃ προσκαρτερεῖ.
through the longing to-it perseveres

5 Εἰ πάντα τὰ ὄντα διὰ τοῦ Θεοῦ καὶ διὰ τὸν Θεὸν
if all the(-things) being through — God and because-of — God
γέγονε· κρείττων δὲ ὁ Θεὸς τῶν δι᾽ αὐτοῦ
have-come-to-be better and — God(-is) than-the(-things) through him
γεγονότων· ὁ καταλιμπάνων τὸν Θεὸν τὸν ἀσυγκρίτως
made the(-one) leaving — God the incomparably
κρείττονα, καὶ τοῖς χείροσιν ἐνασχολούμενος, δείκνυσιν
better and with-the worse(-things) occupied shows
ἑαυτὸν προτιμῶντα τοῦ Θεοῦ, τὰ δι᾽ αὐτοῦ γεγονότα.
himself preferring — to-God the(-things) through him made

6 Ὁ τῇ εἰς Θεὸν ἀγάπῃ τὸν νοῦν ἔχων προσηλωμένον,
the(-one) on-the toward God love the mind having nailed
πάντων τῶν ὁρωμένων, καὶ αὐτοῦ τοῦ σώματος, ὡς
all the(-things) seen and itself the body as
ἀλλοτρίου καταφρονεῖ.
alien despises

7 Εἰ κρείττων τοῦ σώματος ἡ ψυχή· καὶ κρείττων τοῦ
if better than-the body the soul and better than-the
κόσμου ἀσυγκρίτως ὁ κτίσας αὐτὸν Θεός· ὁ προτιμῶν
world incomparably the having-created it God the(-one) preferring

τῆς ψυχῆς τὸ σῶμα, καὶ τοῦ Θεοῦ τὸν ὑπὸ αὐτοῦ κτισθέντα
to-the soul the body and — to-God the by him created
κόσμον, οὐδὲν τῶν εἰδωλολατρούντων διενήνοχεν.
world in-nothing from-the idolaters differs
Ὁ τὸν νοῦν τῆς εἰς Θεὸν ἀγάπης καὶ προσεδρείας 8
the(-one) the mind from-the toward God love and attendance
ἀποχωρίσας, καί τινι τῶν αἰσθητῶν προσεδεμένον ἔχων,
having-separated and to-some of-the sensible(-things) attached having(-it)
οὗτός ἐστι ὁ προτιμῶν τῆς ψυχῆς τὸ σῶμα, καὶ
this(-one) is the(-one) preferring to-the soul the body and
τοῦ κτίσαντος Θεοῦ, τὰ ὑπ᾽ αὐτοῦ γεγονότα.
to-the having-created God the(-things) by him made
Εἰ ἡ ζωὴ τοῦ νοῦ ὁ φωτισμός ἐστι τῆς γνώσεως· 9
if the life of-the mind the illumination is of-the knowledge
τοῦτον δὲ ἡ εἰς Θεὸν ἀγάπη τίκτει· καλῶς, Οὐδὲν
this and the toward God love begets well nothing
τῆς θείας ἀγάπης, εἴρηται, μεῖζον.
than-the divine love has-been-said greater
Ὅταν τῷ ἔρωτι τῆς ἀγάπης πρὸς Θεὸν ὁ νοῦς ἐκδημῇ, 10
when by-the eros of-the love toward God the mind goes-abroad
τότε οὔτε ἑαυτοῦ οὔτε τινὸς τῶν ὄντων παντάπασι
then neither itself nor anything of-the(-things) being at-all
ἐπαισθάνεται. Ὑπὸ γὰρ τοῦ θείου καὶ ἀπείρου φωτὸς
it-perceives by for the divine and infinite light
καταλαμπόμενος, ἀναισθητεῖ πρὸς πάντα τὰ ὑπ᾽
being-shone-on it-is-insensible toward all the(-things) by
αὐτοῦ γεγονότα· καθάπερ καὶ ὁ αἰσθητὸς ὀφθαλμὸς πρὸς
him made just-as also the sensible eye toward
τοὺς ἀστέρας, τοῦ ἡλίου ἀνατέλλοντος.
the stars the sun rising

11 Πᾶσαι μὲν αἱ ἀρεταὶ συνεργοῦσι τῷ νῷ πρὸς τὸν θεῖον
all indeed the virtues work-with the mind toward the divine
ἔρωτα, πλέον δὲ πάντων ἡ καθαρὰ προσευχή. Διὰ
eros more and than-all the pure prayer through
ταύτης γὰρ πρὸς τὸν Θεὸν πτερούμενος, ἔξω γίνεται
this for toward — God being-winged outside it-becomes
πάντων τῶν ὄντων.
all the(-things) being

12 Ὅταν διὰ τῆς ἀγάπης ὑπὸ τῆς θείας γνώσεως ὁ νοῦς
when through the love by the divine knowledge the mind
ἁρπαγῇ, καὶ ἔξω γενόμενος τῶν ὄντων τῆς θείας
is-seized and outside having-become the(-things) being the divine
ἐπαισθάνηται ἀπειρίας, τότε κατὰ τὸν θεῖον Ἡσαΐαν
perceives infinity then according-to the divine Isaiah
ὑπὸ ἐκπλήξεως εἰς συναίσθησιν ἐλθὼν τῆς ἑαυτοῦ
from amazement into awareness having-come of-the own
ταπεινώσεως, μετὰ διαθέσεως λέγει τὰ τοῦ προφήτου
lowliness with disposition it-says the of-the prophet
ῥήματα· Ὢ τάλας ἐγὼ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος
words O wretched I because I-am-pricked because man
ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα
being and unclean lips having in midst of-people unclean
χείλη ἔχοντος ἐγὼ κατοικῶ, καὶ τὸν βασιλέα Κύριον
lips having I dwell and the king Lord
σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου.
Sabaoth I-saw with-the eyes of-me

13 Ὁ ἀγαπῶν τὸν Θεὸν, οὐ δύναται μὴ καὶ πάντα
the(-one) loving — God not can not also every
ἄνθρωπον ὡς ἑαυτὸν ἀγαπῆσαι, εἰ καὶ πρὸς τὰ πάθη
man as himself love if even toward the passions
δυσχεραίνει τῶν μήπω κεκαθαρμένων. Διὸ καὶ τὴν
he-is-vexed of-the(-ones) not-yet cleansed wherefore also the

ἐπιστροφὴν αὐτῶν βλέπων καὶ τὴν διόρθωσιν, ἀμετρήτῳ
conversion of-them seeing and the correction with-immeasurable
καὶ ἀνεκλαλήτῳ χαίρει χαρᾷ.
and unspeakable he-rejoices joy
Ἀκάθαρτός ἐστι ψυχὴ ἐμπαθής· λογισμῶν ἐπιθυμίας καὶ 14
unclean is soul passionate of-thoughts of-desire and
μίσους πεπληρωμένη.
of-hatred filled
Ὁ ἴχνος μίσους βλέπων ἐν τῇ ἑαυτοῦ καρδίᾳ διὰ 15
the(-one) trace of-hatred seeing in the of-himself heart because-of
οἱονδήποτε πταῖσμα πρὸς τὸν οἱονδήποτε ἄνθρωπον,
whatever fault toward the whatever man
ἀλλότριος τυγχάνει πάμπαν τῆς εἰς Θεὸν ἀγάπης·
alien is altogether from-the toward God love
διότι ἡ εἰς Θεὸν ἀγάπη, τοῦ εἰς ἄνθρωπον μίσους
because the toward God love the toward man hatred
παντελῶς οὐκ ἀνέχεται.
wholly not endures
Ὁ ἀγαπῶν με, φησὶν ὁ Κύριος, τὰς ἐντολάς μου 16
the(-one) loving me says the Lord the commandments of-me
τηρήσει· αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε
will-keep this and is the commandment the mine that you-love
ἀλλήλους. Ὁ οὖν μὴ ἀγαπῶν τὸν πλησίον, τὴν
one-another the(-one) then not loving the neighbor the
ἐντολὴν οὐ τηρεῖ. Ὁ δὲ τὴν ἐντολὴν μὴ τηρῶν,
commandment not keeps the(-one) and the commandment not keeping
οὐδὲ τὸν Κύριον ἀγαπῆσαι δύναται.
not-even the Lord love can
Μακάριος ἄνθρωπος, ὁ πάντα ἄνθρωπον ἐξ ἴσου 17
blessed man the(-one) every man from equal
ἀγαπῆσαι δυνηθείς.
to-love having-been-able

18 Μακάριος ἄνθρωπος, ὁ μηδενὶ πράγματι φθαρτῷ ἢ
blessed man the(-one) to-no thing corruptible or
προσκαίρῳ προσκείμενος.
temporary attached

19 Μακάριος ὁ νοῦς, ὁ πάντα τὰ ὄντα περάσας,
blessed the mind the all the(-things) being having-passed-beyond
καὶ τῆς θείας ὡραιότητος ἀδιαλείπτως κατατρυφῶν.
and of-the divine beauty unceasingly delighting-in

20 Ὁ πρόνοιαν τῆς σαρκὸς εἰς ἐπιθυμίας ποιούμενος, καὶ
the(-one) provision of-the flesh for desires making and
μνησικακίαν διὰ πρόσκαιρα πρὸς τὸν πλησίον ἔχων·
grudge-bearing because-of temporary(-things) toward the neighbor having
ὁ τοιοῦτος λατρεύει τῇ κτίσει παρὰ τὸν κτίσαντα.
the such(-a-one) serves the creation beside the(-one) having-created

21 Ὁ ἀνήδονον καὶ ἄνοσον· τὸ σῶμα διατηρῶν,
the(-one) without-pleasure and without-sickness the body keeping
σύνδουλον αὐτὸ ἔχει πρὸς τὴν τῶν κρειττόνων ὑπηρεσίαν.
fellow-slave it has toward the of-the better(-things) service

22 Ὁ φεύγων πάσας τὰς κοσμικὰς ἐπιθυμίας, πάσης
the(-one) fleeing all the worldly desires all
λύπης κοσμικῆς ἑαυτὸν ἀνώτερον καθίστησιν.
grief worldly himself higher sets

23 Ὁ τὸν Θεὸν ἀγαπῶν, καὶ τὸν πλησίον πάντως ἀγαπᾷ.
the(-one) — God loving also the neighbor surely loves
Ὁ δὲ τοιοῦτος, χρήματα τηρεῖν οὐ δύναται, ἀλλ' οἰκονομεῖ
the and such(-a-one) money keep not can but he-dispenses
θεοπρεπῶς, ἑκάστῳ τῶν δεομένων παρέχων.
as-befits-God to-each of-the(-ones) needing providing

24 Ὁ κατὰ μίμησιν Θεοῦ τὴν ἐλεημοσύνην ποιούμενος,
the(-one) according-to imitation of-God the almsgiving making
οὐκ οἶδε διαφορὰν πονηροῦ καὶ ἀγαθοῦ, δικαίου καὶ
not knows difference of-wicked and good of-just and

ἀδίκου ἐν τοῖς τοῦ σώματος ἀναγκαίοις· ἀλλὰ πᾶσιν
unjust in the(-things) of-the body necessary but to-all
ἐξ ἴσου κατὰ τὴν χρείαν διανέμει· εἰ καὶ προτιμᾷ
from equal according-to the need distributes if even he-prefers
δι᾽ ἀγαθὴν προαίρεσιν τοῦ φαύλου τὸν ἐνάρετον.
because-of good choice to-the base the virtuous
Ὥσπερ ὁ Θεὸς φύσει ὢν ἀγαθὸς καὶ ἀπαθὴς, πάντας 25
just-as — God by-nature being good and dispassionate all
μὲν ἐξ ἴσου ἀγαπᾷ, ὡς ἔργα αὐτοῦ· ἀλλὰ τὸν μὲν
indeed from equal loves as works of-him but the indeed
ἐνάρετον δοξάζει, ὡς καὶ τῇ γνώμῃ, οἰκειούμενον· τὸν δὲ
virtuous he-glorifies as also by-the will being-made-his-own the and
φαῦλον, δι᾽ ἀγαθότητα ἐλεεῖ, καὶ ἐν τῷ αἰῶνι τούτῳ
base because-of goodness he-pities and in the age this
παιδεύων ἐπιστρέφει· οὕτω καὶ ὁ τῇ γνώμῃ ἀγαθὸς
chastising he-turns thus also the(-one) by-the will good
καὶ ἀπαθής, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ· τὸν μὲν
and dispassionate all men from equal loves the indeed
ἐνάρετον, διά τε τὴν φύσιν καὶ τὴν ἀγαθὴν προαίρεσιν·
virtuous because-of both the nature and the good choice
τὸν δὲ φαῦλον, διά τε τὴν φύσιν, καὶ τὴν συμπάθειαν
the and base because-of both the nature and the compassion
ἐλεῶν ὡς ἄφρονα καὶ ἐν σκότει διαπορευόμενον.
pitying as senseless and in darkness walking
Οὐ μόνον διὰ μεταδόσεως χρημάτων ἡ διάθεσις τῆς 26
not only through sharing of-money the disposition of-the
ἀγάπης γνωρίζεται, ἀλλὰ πολλῷ μᾶλλον διὰ μεταδόσεως
love is-made-known but by-much more through sharing
λόγου Θεοῦ καὶ σωματικῆς διακονίας.
of-word of-God and of-bodily service

27 Ὁ τοῖς τοῦ κόσμου πράγμασι γνησίως ἀποταξάμενος,
the(-one) the of-the world affairs genuinely having-renounced
καὶ τῷ πλησίον διὰ τῆς ἀγάπης ἀνυποκρίτως δουλεύων,
and the neighbor through the love without-hypocrisy serving
παντὸς πάθους ταχέως ἐλευθεροῦται, καὶ τῆς θείας
of-every passion quickly is-freed and of-the divine
ἀγάπης καὶ γνώσεως μέτοχος καθίσταται.
love and knowledge partaker is-made

28 Ὁ τὴν θείαν ἀγάπην ἐν ἑαυτῷ κτησάμενος, οὐ κοπιᾷ
the(-one) the divine love in himself having-acquired not grows-weary
κατακολουθῶν ὀπίσω Κυρίου τοῦ Θεοῦ αὐτοῦ, κατὰ τὸν
following after (the)-Lord the God of-him according-to the
θεῖον Ἱερεμίαν· ἀλλὰ πάντα πόνον ὀνειδισμόν τε καὶ φέρει
divine Jeremiah but every toil reproach both and bears
ὕβριν γενναίως, μηδενὶ τὸ σύνολον κακὸν λογιζόμενος.
insult nobly to-no-one at all evil reckoning

29 Ὅταν ὑβρισθῇς παρά τινος, ἢ ἔν τινι ἐξουδενωθῇς,
when you-are-insulted by someone or in something you-are-set-at-naught
τότε πρόσεχε ἀπὸ τῶν λογισμῶν τῆς ὀργῆς, μή σε τῆς
then beware from the thoughts of-the anger lest you from-the
ἀγάπης διὰ τῆς λύπης χωρίσαντες, ἐν τῇ χώρᾳ τοῦ
love through the grief having-separated in the place of-the
μίσους καταστήσωσιν.
hatred they-set

30 Ὅταν ἐφ' ὕβρει ἢ ἀτιμίᾳ πονήσῃς, γίνωσκε σεαυτὸν
when at insult or dishonor you-labor know yourself
μεγάλως ὠφεληθέντα, τῆς κενοδοξίας διὰ τῆς ἀτιμίας
greatly benefited of-the vainglory through the dishonor
οἰκονομικῶς ἀπὸ σοῦ ἐκβληθείσης.
providentially from you having-been-cast-out

Ὥσπερ μνήμη πυρὸς οὐ θερμαίνει τὸ σῶμα, οὕτω πίστις 31
just-as memory of-fire not warms the body thus faith
ἄνευ ἀγάπης, οὐκ ἐνεργεῖ εἰς τὴν ψυχὴν τὸν τῆς γνώσεως
without love not works in the soul the of-the knowledge
φωτισμόν.
illumination

Ὥσπερ τὸ φῶς τοῦ ἡλίου τὸν ὑγιῆ ὀφθαλμὸν εἰς ἑαυτὸ 32
just-as the light of-the sun the healthy eye to itself
ἐφέλκεται· οὕτω καὶ ἡ γνῶσις τοῦ Θεοῦ τὸν καθαρὸν
draws thus also the knowledge — of-God the pure
νοῦν φυσικῶς διὰ τῆς ἀγάπης πρὸς ἑαυτὴν ἐπισπᾶται.
mind naturally through the love toward itself draws-on

Νοῦς ἐστι καθαρὸς, ὁ ἀγνοίας χωρισθεὶς, καὶ ὑπὸ 33
mind is pure the(-one) from-ignorance separated and by
τοῦ θείου φωτὸς καταλαμπόμενος.
the divine light being-illumined

Ψυχή ἐστι καθαρὰ, ἡ παθῶν ἐλευθερωθεῖσα, καὶ 34
soul is pure the(-one) from-passions freed and
ὑπὸ τῆς θείας ἀγάπης ἀδιαλείπτως εὐφραινομένη.
by the divine love unceasingly being-gladdened

Πάθος ἐστὶ ψεκτὸν, κίνησις ψυχῆς παρὰ φύσιν. 35
passion is blameworthy movement of-soul against nature

Ἀπάθειά ἐστιν εἰρηνικὴ κατάστασις ψυχῆς, καθ' ἣν 36
dispassion is peaceful state of-soul according-to which
δυσκίνητος γίνεται ψυχὴ πρὸς κακίαν.
hard-to-move becomes soul toward vice

Ὁ τοὺς καρποὺς τῆς ἀγάπης διὰ σπουδῆς κτησάμενος, 37
the(-one) the fruits of-the love through zeal having-acquired
οὐ μετατίθεται ταύτης, κἂν μυρία πάσχῃ κακά. Καὶ πειθέτω
not is-moved-away from-it even-if countless he-suffers evils and let-persuade
σε Στέφανος ὁ τοῦ Χριστοῦ μαθητὴς, καὶ οἱ κατ' αὐτόν·
you Stephen the — of-Christ disciple and the(-ones) like him

καὶ αὐτὸς ὁ Σωτὴρ ὑπὲρ τῶν φονευτῶν εὐχόμενος τῷ
and himself the Savior for the murderers praying to-the
Πατρὶ, καὶ συγγνώμην παρ᾽ αὐτοῦ ὡς ἀγνοοῦσιν αἰτούμενος.
Father and pardon from him as being-ignorant asking

38 Εἰ τῆς ἀγάπης ἐστὶ τὸ μακροθυμεῖν καὶ χρηστεύεσθαι,
if of-the love is the to-be-long-suffering and to-be-kind
ὁ θυμομαχῶν καὶ πονηρευόμενος, ἀλλότριος δηλονότι
the(-one) fighting-in-temper and doing-evil alien plainly
τῆς ἀγάπης καθίστασται· ὁ δὲ ἀγάπης ἀλλότριος,
from-the love is-made the(-one) and from-love alien
τοῦ Θεοῦ ἐστιν ἀλλότριος, εἴπερ ὁ Θεὸς ἀγάπη ἐστί.
— from-God is alien if-indeed — God love is

39 Μὴ εἴπητε, φησὶν ὁ θεῖος Ἱερεμίας, ὅτι ναὸς Κυρίου
not say says the divine Jeremiah that temple of-(the)-Lord
ἐστέ. Καὶ σὺ μὴ εἴπῃς, ὅτι Ἡ ψιλὴ πίστις ἡ εἰς
you-are and you not say that the bare faith the in
τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δύναταί με σῶσαι.
the Lord of-us Jesus Christ can me save
Ἀμήχανον γὰρ τοῦτο, ἐὰν μὴ καὶ τὴν ἀγάπην εἰς
impossible for this unless — also the love toward
αὐτὸν διὰ τῶν ἔργων κτήσῃ. Τὸ δὲ ψιλῶς πιστεύειν·
him through the works you-acquire the and barely to-believe
Καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φίσσουσι.
also the demons believe and shudder

40 Ἔργον ἀγάπης ἐστὶν ἡ εἰς τὸν πλησίον ἐκ διαθέσεως
work of-love is the toward the neighbor from disposition
εὐεργεσία καὶ μακροθυμία καὶ ὑπομονή· καὶ τὸ μετὰ
beneficence and long-suffering and endurance and the with
ὀρθοῦ λόγου χρήσασθαι τοῖς πράγμασι.
right reason to-use the things

Ὁ ἀγαπῶν τὸν Θεὸν οὐ λυπεῖ, οὐδὲ λυπεῖται πρός 41
the(-one) loving — God not grieves nor is-grieved toward
τινα διὰ πρόσκαιρα· μίαν δὲ λύπην καὶ λυπεῖ καὶ
someone because-of temporary(-things) one and grief both grieves and
λυπεῖται σωτήριον, ἣν ὁ μακάριος Παῦλος καὶ ἐλυπήθη
is-grieved saving which the blessed Paul both was-grieved
καὶ ἐλύπησε τοὺς Κορινθίους.
and grieved the Corinthians

Ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγγελικὸν βίον ἐπὶ γῆς ζῇ, 42
the(-one) loving — God angelic life upon earth lives
νηστεύων καὶ ἀγρυπνῶν, ψάλλων καὶ προσευχόμενος, καὶ
fasting and keeping-vigil singing-psalms and praying and
περὶ παντὸς ἀνθρώπου ἀεὶ καλὰ λογιζόμενος.
about every man always good(-things) thinking

Εἰ οὗτινός τις ἐπιθυμεῖ, τούτου καὶ τυχεῖν ἀγωνίζεται· 43
if whatever someone desires this also to-attain he-strives
πάντων δὲ τῶν ἀγαθῶν καὶ ἐπιθυμητῶν ἀγαθώτερον
of-all and the goods and desirable(-things) better
τὸ Θεῖον καὶ ἐπιθυμητότερον ἀσυγκρίτως· πόσην ἄρα
the Divine and more-desirable incomparably how-much then
σπουδὴν ὀφείλομεν ἐνδείξασθαι, ἵνα τούτου τοῦ φύσει
zeal we-ought to-show that this the by-nature
ἀγαθοῦ καὶ ἐπιθυμητοῦ τύχωμεν.
good and desirable we-may-attain

Μὴ μολύνῃς τὴν σάρκα σου ἐν αἰσχραῖς πράξεσι, καὶ 44
not defile the flesh of-you in shameful deeds and
μὴ μιάνῃς τὴν ψυχὴν πονηροῖς λογισμοῖς· καὶ ἡ εἰρήνη
not stain the soul with-wicked thoughts and the peace
τοῦ Θεοῦ ἐπελεύσεται ἐπὶ σὲ, τὴν ἀγάπην φέρουσα.
— of-God will-come upon you the love bringing

45 Αἴκιζε τὴν σάρκα σου ἀσιτίᾳ καὶ ἀγρυπνίᾳ, καὶ σχόλασον
torment the flesh of-you with-fasting and with-vigil and devote-yourself
ἀόκνως ψαλμωδίᾳ καὶ προσευχῇ· καὶ ὁ ἁγιασμὸς τῆς
tirelessly to-psalmody and to-prayer and the sanctification of-the
σωφροσύνης ἐπὶ σὲ ἐπελεύσεται, τὴν ἀγάπην φέρων.
chastity upon you will-come the love bringing
46 Ὁ τῆς θείας καταξιωθεὶς γνώσεως, καὶ τὸν
the(-one) of-the divine having-been-deemed-worthy knowledge and the
ταύτης φωτισμὸν διὰ τῆς ἀγάπης κτησάμενος, οὐ
of-it illumination through the love having-acquired not
ῥιπισθήσεταί ποτε ὑπὸ τοῦ τῆς κενοδοξίας πνεύματος·
will-be-fanned ever by the of-the vainglory spirit
ὁ δὲ ταύτης μήπω καταξιωθεὶς, εὐχερῶς ὑπ᾽
the(-one) and of-it not-yet having-been-deemed-worthy easily by
αὐτῆς περιφέρεται. Ἐὰν οὖν ὁ τοιοῦτος ἐν πᾶσι τοῖς ὑπ᾽
it is-carried-about if then the such(-a-one) in all the(-things) by
αὐτοῦ πραττομένοις πρὸς τὸν Θεὸν ἀποβλέψῃ, ὡς δι᾽
him being-done toward — God looks as because-of
αὐτὸν πάντα ποιῶν, ῥᾳδίως σὺν Θεῷ ἐκφεύξεται αὐτήν.
him all(-things) doing easily with God will-escape it
47 Ὁ μήπω τυχὼν τῆς θείας γνώσεως τῆς διὰ
the(-one) not-yet having-attained the divine knowledge the through
ἀγάπης ἐνεργουμένης, μέγα φρονεῖ ἐπὶ τοῖς ὑπ᾽ αὐτοῦ
love being-worked great thinks over the(-things) by him
κατὰ Θεὸν πραττομένοις. Ὁ δὲ ταύτης τυχεῖν
according-to God being-done the(-one) and it to-attain
καταξιωθεὶς, μετὰ διαθέσεως λέγει τὰ τοῦ πατριάρχου
having-been-deemed-worthy with disposition says the of-the patriarch
Ἀβράαμ ῥήματα, ἅπερ ἡνίκα τῆς θείας κατηξιώθη
Abraham words which when the divine he-was-deemed-worthy-of
ἐπιφανείας, εἶπεν· Ἐγὼ εἰμὶ γῆ καὶ σποδός.
manifestation he-said I am earth and ash

Ὁ φοβούμενος τὸν Κύριον, συνόμιλον ἀεὶ ἔχει τὴν 48
the(-one) fearing the Lord companion always has the
ταπεινοφροσύνην· καὶ διὰ τῶν ταύτης ἐνθυμημάτων, εἰς τὴν
humility and through the of-it considerations into the
θείαν ἀγάπην καὶ εὐχαριστίαν ἔρχεται. Μνημονεύει γὰρ τῆς
divine love and thanksgiving comes he-remembers for the
κατὰ τὸν κόσμον προτέρας διαγωγῆς, καὶ τῶν ποικίλων
according-to the world former way-of-life and the various
παραπτωμάτων, καὶ τῶν ἐκ νεότητος συμβάντων αὐτῷ
transgressions and the(-ones) from youth having-befallen him
πειρασμῶν· καὶ πῶς πάντων ἐκείνων ἐῤῥύσατο αὐτὸν ὁ
temptations and how from-all those rescued him the
Κύριος, καὶ μετέστησεν ἀπὸ τῆς ἐμπαθοῦς ζωῆς, εἰς τὸν
Lord and transferred from the passionate life into the
κατὰ Θεὸν βίον· καὶ σὺν τῷ φόβῳ, προσλαμβάνεται
according-to God life and with the fear he-takes-on
καὶ τὴν ἀγάπην, εὐχαριστῶν ἀεὶ μετὰ ταπεινοφροσύνης
also the love giving-thanks always with humility
πολλῆς τῷ εὐεργέτῃ, καὶ κυβερνήτῃ τῆς ζωῆς ἡμῶν.
much to-the benefactor and helmsman of-the life of-us
Μὴ ῥυπώσῃς τὸν νοῦν σου, λογισμῶν ἀνεχόμενος ἐπιθυμίας 49
not soil the mind of-you thoughts enduring of-desire
καὶ θυμοῦ, ἵνα μὴ τῆς καθαρᾶς προσευχῆς ἐκπεσὼν,
and of-temper that not from-the pure prayer having-fallen
τῷ τῆς ἀκηδίας πνεύματι περιπέσῃς.
the of-the acedia spirit you-fall-in-with
Τὸ τηνικαῦτα ὁ νοῦς τῆς πρὸς Θεὸν παῤῥησίας ἐκπίπτει, 50
the at-that-time the mind from-the toward God boldness falls-out
ὁπηνίκα πονηροῖς ἢ ῥυπαροῖς λογισμοῖς συνόμιλος γένηται.
when with-wicked or with-filthy thoughts companion it-becomes

51 Ὁ μὲν ἄφρων ὑπὸ τῶν παθῶν ἀγόμενος, ὅτε μὲν ὑπὸ
the(-one) indeed senseless by the passions being-led when indeed by
τοῦ θυμοῦ κινούμενος ἐκταράσσεται, φεύγειν ἀλογίστως
the temper moved he-is-thrown-into-turmoil to-flee irrationally
τοὺς ἀδελφοὺς ἐπείγεται· ὅτε δὲ πάλιν ὑπὸ τῆς ἐπιθυμίας
the brothers he-hastens when and again by the desire
ἐκθερμαίνεται, μεταμελόμενος αὖθις προστρέχων ἀπαντᾷ.
he-is-heated repenting again running-to he-meets(-them)
Ὁ δὲ φρόνιμος, ἐπ᾽ ἀμφοτέρων τοὐναντίον ποιεῖ. ἐπὶ
the(-one) and prudent in both-cases the-opposite does in
μὲν γὰρ τοῦ θυμοῦ, τὰς αἰτίας τῆς ταραχῆς ἐκκόψας, τῆς
indeed for the temper the causes of-the turmoil having-cut-off from-the
πρὸς τοὺς ἀδελφοὺς λύπης ἑαυτὸν ἀπαλλάττει· ἐπὶ δὲ τῆς
toward the brothers grief himself frees in and the
ἐπιθυμίας, τῆς ἀλόγου ὁρμῆς καὶ συντυχίας ἐγκρατεύεται.
desire of-the irrational impulse and meeting he-is-continent
52 Ἐν τῷ καιρῷ τῶν πειρασμῶν, μὴ καταλίπῃς τὸ
in the time of-the temptations not leave the
μοναστήριόν σου· ἀλλὰ φέρε γενναίως τὰ κύματα τῶν
monastery of-you but bear nobly the waves of-the
λογισμῶν, καὶ μάλιστα τῶν τῆς λύπης καὶ ἀκηδίας. Οὕτω
thoughts and most-of-all the(-ones) of-the grief and acedia thus
γὰρ οἰκονομικῶς διὰ τῶν θλίψεων δοκιμασθεὶς, ἕξεις
for providentially through the afflictions tested you-will-have
βεβαίαν τὴν εἰς Θεὸν ἐλπίδα. Ἐὰν δὲ καταλιμπάνῃς,
firm the toward God hope if and you-leave
ἀδόκιμος καὶ ἄνανδρος καὶ ἄστατος εὑρεθήσῃ
unproven and unmanly and unstable you-will-be-found
53 Ἐὰν θέλῃς τῆς κατὰ Θεὸν ἀγάπης μὴ ἐκπεσεῖν, μήτε
if you-wish from-the according-to God love not to-fall-away neither
τὸν ἀδελφὸν ἀφῇς κοιμηθῆναι λυπούμενον κατὰ σοῦ, μήτε σὺ
the brother let to-sleep grieving against you nor you

κοιμηθῇς λυπούμενος κατ᾽ αὐτοῦ· ἀλλ᾽, Ὕπαγε, διαλλάγηθι
sleep grieving against him but go be-reconciled
τῷ ἀδελφῷ σου, καὶ ἐλθὼν, πρόσφερε Χριστῷ καθαρῷ τῷ
to-the brother of-you and having-come offer to-Christ with-pure the
συνειδότι, δι᾽ ἐκτενοῦς προσευχῆς τὸ δῶρον τῆς ἀγάπης.
conscience through earnest prayer the gift of-the love
Εἰ ὁ πάντα τὰ χαρίσματα τοῦ Πνεύματος ἔχων, 54
if the(-one) all the gifts of-the Spirit having
ἀγάπην δὲ μὴ ἔχων, οὐδὲν ὠφελεῖται, κατὰ τὸν θεῖον
love and not having nothing is-profited according-to the divine
Ἀπόστολον· πόσην ὀφείλομεν ἐνδείξασθαι σπουδὴν, ἵνα
Apostle how-much ought-we to-show zeal that
ταύτην κτησώμεθα;
it we-may-acquire
Εἰ Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται, ὁ 55
if the love to-the neighbor evil not works the(-one)
φθονῶν τῷ ἀδελφῷ, καὶ λυπούμενος ἐπὶ τῇ εὐδοκιμήσει
envying the brother and grieving at the good-repute
αὐτοῦ, καὶ σκώμμασι χραίνων τὴν ὑπόληψιν αὐτοῦ, ἢ ἔν τινι,
of-him and with-jests staining the reputation of-him or in some
κακοηθείᾳ ἐπιβουλεύων αὐτῷ, πῶς οὐκ ἀλλότριον ἑαυτὸν
malice plotting-against him how not alien himself
τῆς ἀγάπης καθίστησι, καὶ ἔνοχον τῆς αἰωνίου κρίσεως,
from-the love does-he-make and liable to-the eternal judgment
Εἰ Πλήρωμα νόμου ἡ ἀγάπη, ὁ μνησικακῶν 56
if fullness of-law the love the(-one) bearing-a-grudge
τῷ ἀδελφῷ, καὶ δόλους κατ᾽ αὐτοῦ συσκευάζων καὶ
to-the brother and deceits against him contriving and
κατευχόμενος αὐτοῦ καὶ ἐπιχαίρων τῷ πτώματι αὐτοῦ,
cursing him and rejoicing at-the fall of-him
πῶς οὐ παράνομός ἐστι, καὶ τῆς αἰωνίου κολάσεως ἄξιος;
how not lawless is-he and of-the eternal punishment worthy

57 Εἰ Ὁ καταλαλῶν ἀδελφοῦ καὶ κρίνων ἀδελφὸν, καταλαλεῖ
if the(-one) speaking-against a-brother and judging a-brother speaks-against
καὶ κρίνει νόμον· ὁ δὲ νόμος τοῦ Χριστοῦ ἐστιν ἡ
and judges law the and law — of-Christ is the
ἀγάπη, πῶς τῆς ἀγάπης τοῦ Χριστοῦ ὁ κατάλαλος
love how from-the love — of-Christ the slanderer
οὐκ ἐκπίπτει, καὶ αἴτιος ἑαυτῷ γίνεται κολάσεως αἰωνίου,
not falls-out and cause to-himself becomes of-punishment eternal

II · THE FIRST CENTURY, 58–100

Maximus warns against slander and hearing slander, and gives the Lord's commands to love enemies and turn the other cheek as cures for grief and anger. Passions of the irascible part are harder to fight than those of the desiring part, and acedia moves them all. Perfect love loves all men equally, the good as friends and the wicked as enemies; mind passes through the contemplation of things to the knowledge of the Trinity.

58 Μὴ δώης τὴν ἀκοήν σου τῇ γλώσσῃ τοῦ καταλάλου,
not give the hearing of-you to-the tongue of-the slanderer
μηδὲ τὴν γλῶσσάν σου τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως
nor the tongue of-you to-the hearing of-the fault-finder gladly
λαλῶν ἢ ἀκούων κατὰ τοῦ πέλας, ἵνα μὴ ἐκπέσῃς τῆς
speaking or hearing against the neighbor that not you-fall-away-from the
θείας ἀγάπης, καὶ ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς.
divine love and alien you-be-found from-the eternal life
59 Μὴ καταδέχου κατὰ τοῦ Πατρός σου λοιδορίαν, μηδὲ
not accept against the Father of-you abuse nor
προθυμοποιήσῃς τὸν ἀτιμάζοντα αὐτόν· ἵνα μὴ ὀργισθῇ
encourage the(-one) dishonoring him that not be-angered

Κύριος ἐπὶ τοῖς ἔργοις σου, καὶ ἐξολοθρεύσῃ σε ἐκ γῆς
(the)-Lord at the works of-you and destroy you from land
ζώντων.
of-(the)-living

Ἐπιστόμιζε τὸν καταλαλοῦντα ἐν ἀκοαῖς σου, ἵνα μὴ 60
muzzle the(-one) slandering in hearings of-you that not
διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς· καὶ σαυτὸν ὀλεθρίῳ
double sin with him you-sin and yourself to-deadly
πάθει ἐθίζων, κακεῖνον κατὰ τοῦ πλησίον φλυαρεῖν οὐκ
passion accustoming and-that-one against the neighbor to-babble not
ἀνακόπτων.
checking

Ἐγὼ δὲ λέγω ὑμῖν, φησὶν ὁ Κύριος· Ἀγαπᾶτε τοὺς 61
I but say to-you says the Lord love the
ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς·
enemies of-you well do to-the(-ones) hating you
προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. Διὰ τί
pray for the(-ones) abusing you because-of what
ταῦτα προσέταξεν; Ἵνα σε μίσους καὶ λύπης καὶ ὀργῆς
these(-things) did-he-command that you from-hatred and grief and anger
καὶ μνησικακίας ἐλευθερώσῃ, καὶ τοῦ μεγίστου κτήματος
and grudge-bearing he-may-free and of-the greatest possession
τῆς τελείας ἀγάπης καταξιώσῃ· ἣν ἀμήχανον ἔχειν,
the perfect love he-may-deem-worthy which impossible to-have
τὸν μὴ πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντα κατὰ
the(-one) not all men from equal loving according-to
μίμησιν Θεοῦ, τοῦ πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπῶντος,
imitation of-God the all men from equal loving
καὶ θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.
and wishing to-be-saved and to knowledge of-truth to-come

62 Ἐγὼ δὲ λέγω ὑμῖν· Μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ᾽ ὅστις
I but say to-you not to-resist the evil(-one) but whoever
σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν
you will-strike on the right cheek turn to-him also the
ἄλλην· καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά
other and to-the(-one) wishing you to-sue and the tunic
σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· καὶ τῷ
of-you to-take let-go to-him also the cloak and to-the(-one)
ἀγγαρεύοντί σε μίλιον ἓν, ὕπαγε μετ᾽ αὐτοῦ δύο. Διὰ
compelling you mile one go with him two because-of
τί; Ἵνα καὶ σὲ ἀόργητον καὶ ἀτάραχον διαφυλάξῃ καὶ
what that both you without-anger and untroubled he-may-guard and
ἄλυπον, κἀκεῖνον διὰ τῆς σῆς ἀνεξικακίας παιδεύσῃ, καὶ
without-grief and-that-one through the your forbearance he-may-instruct and
ἀμφοτέρους ὡς ἀγαθὸς ὑπὸ τὸν ζυγὸν τῆς ἀγάπης ἀγάγῃ.
both as good under the yoke of-the love he-may-lead

63 Πρὸς ἅπερ πράγματά ποτε πεπόνθαμεν, τούτων καὶ
toward which things ever we-have-suffered of-these also
τὰς φαντασίας ἐμπαθεῖς περιφέρομεν. Ὁ οὖν τὰς
the fantasies passionate we-carry-about the(-one) then the
ἐμπαθεῖς νικῶν φαντασίας, καὶ τῶν πραγμάτων ὧν
passionate conquering fantasies also the things of-which
αἱ φαντασίαι πάντως καταφρονεῖ· ἐπειδὴ τοῦ πρὸς τὰ
the fantasies surely despises since than-the toward the
πράγματα πολέμου ὁ πρὸς τὰς μνήμας τοσοῦτόν
things war the(-one) toward the memories so-much
ἐστι χαλεπώτερος, ὅσον τοῦ κατ᾽ ἐνέργειαν ἁμαρτάνειν,
is harder as than-the in act to-sin
τὸ κατὰ διάνοιαν ἐστιν εὐκοπώτερον.
the in thought is easier

Τῶν παθῶν τὰ μέν ἐστι σωματικὰ, τὰ δὲ ψυχικά. 64
of-the passions the(-ones) indeed are bodily the(-ones) and of-soul
Καὶ τὰ μὲν σωματικὰ, ἐκ τοῦ σώματος ἔχει τὰς
and the(-ones) indeed bodily from the body have the
ἀφορμάς· τὰ δὲ ψυχικὰ, ἐκ τῶν ἔξωθεν πραγμάτων.
occasions the(-ones) and of-soul from the outside things
Ἀμφότερα δὲ περικόπτει ἀγάπη καὶ ἐγκράτεια· ἡ
both and cuts-off love and continence the(-one)
μὲν, τὰ ψυχικά· ἡ δὲ, τὰ σωματικά.
indeed the(-ones) of-soul the(-other) and the(-ones) bodily
Τὰ μὲν τῶν παθῶν, τοῦ θυμικοῦ· τὰ δὲ τοῦ 65
the(-ones) indeed of-the passions of-the irascible the(-ones) and of-the
ἐπιθυμητικοῦ μέρους τῆς ψυχῆς, τυγχάνει. Ἀμφότερα δὲ,
desiring part of-the soul are both and
διὰ τῶν αἰσθήσεων κινεῖται. Τότε δὲ κινεῖται, ὅτε
through the senses are-moved then and they-are-moved when
ἀγάπης ἡ ψυχὴ καὶ ἐγκρατείας ἐκτὸς εὑρίσκεται.
from-love the soul and continence outside is-found
Δυσκαταγώνιστα μᾶλλον τὰ τοῦ θυμικοῦ μέρους τῆς 66
hard-to-combat more the of-the irascible part of-the
ψυχῆς πάθη, παρὰ τὰ τοῦ ἐπιθυμητικοῦ τυγχάνει.
soul passions than the(-ones) of-the desiring are
Διὸ καὶ μεῖζον τὸ φάρμακον κατ᾽ αὐτοῦ, ἡ ἐντολὴ
wherefore also greater the remedy against it the commandment
τῆς ἀγάπης ὑπὸ τοῦ Κυρίου ἐδόθη.
of-the love by the Lord was-given
Πάντα τὰ ἄλλα πάθη, ἢ τοῦ θυμικοῦ μέρους τῆς 67
all the other passions either the irascible part of-the
ψυχῆς, ἢ τοῦ ἐπιθυμητικοῦ μόνον ἐφάπτεται· ἢ καὶ τοῦ
soul or the desiring only touch or also the
λογιστικοῦ, ὡς ἡ λήθη καὶ ἡ ἄγνοια· ἡ δὲ ἀκηδία,
reasoning as the forgetfulness and the ignorance the and acedia

πασῶν τῶν τῆς ψυχῆς δυνάμεων ἐπιδραττομένη, πάντα
of-all the of-the soul powers laying-hold all
σχεδὸν ὁμοθυμαδὸν κινεῖ τὰ πάθη. Διὸ καὶ πάντων τῶν
almost with-one-accord moves the passions wherefore also of-all the
ἄλλων παθῶν ἐστι βαρύτατον. Καλῶς οὖν ὁ Κύριος τὸ
other passions is heaviest well then the Lord the
κατ᾽ αὐτῆς φάρμακον δεδωκὼς, Ἐν τῇ ὑπομονῇ ὑμῶν,
against it remedy having-given in the endurance of-you
λέγει, κτήσασθε τὰς ψυχὰς ὑμῶν.
he-says acquire the souls of-you

68 Μὴ πλήξῃς ποτέ τινα τῶν ἀδελφῶν, παραλόγως μάλιστα·
not strike ever any of-the brothers unreasonably most-of-all
μή ποτε μὴ φέρων τὴν θλίψιν, ὑποχωρήσῃ· καὶ οὐ μὴ
lest ever not bearing the affliction he-withdraw and not —
ἐκφεύξῃ ποτὲ τὸν ἔλεγχον τοῦ συνειδότος, ἀεί σοι
you-will-escape ever the reproof of-the conscience always to-you
λύπην ἐν τῷ καιρῷ τῆς προσευχῆς προξενοῦντα, καὶ
grief in the time of-the prayer procuring and
τῆς θείας παῤῥησίας τὸν νοῦν ἀπελαύνοντα.
from-the divine boldness the mind driving-away

69 Μὴ ἀνάσχῃ τῶν σκάνδαλά σοι φερουσῶν ὑπονοιῶν, ἢ
not endure the stumbling-blocks to-you bringing suspicions or
καὶ ἀνθρώπων, κατά τινων. Οἱ γὰρ παραδεχόμενοι
also men against some(-people) the(-ones) for accepting
σκάνδαλα ἐν οἱῳ δήποτε τρόπῳ τῶν κατὰ
stumbling-blocks in whatever-kind ever way of-the(-things) according-to
προαίρεσιν ἢ παρὰ προαίρεσιν συμβαινόντων, οὐκ ἴσασι
choice or against choice happening not know
τὴν ὁδὸν τῆς εἰρήνης, τὴν φέρουσαν διὰ τῆς ἀγάπης
the way of-the peace the bringing through the love
εἰς τὴν γνῶσιν τοῦ Θεοῦ τοὺς ταύτης ἐραστάς.
to the knowledge — of-God the of-it lovers

Οὔπω ἔχει τελείαν τὴν ἀγάπην, ὁ ἔτι ταῖς γνώμαις 70
not-yet has perfect the love the(-one) still with-the opinions
τῶν ἀνθρώπων συνδιατιθέμενος. Οἷον, τὸν μὲν
of-the men being-disposed-along for-example the(-one) indeed
ἀγαπῶν, τὸν δὲ μισῶν, διὰ τόδε ἢ τόδε· ἢ καὶ
loving the(-other) and hating because-of this or that or also
τὸν αὐτὸν ποτὲ μὲν ἀγαπῶν, ποτὲ δὲ μισῶν, διὰ
the same at-one-time indeed loving at-another and hating because-of
τὰς αὐτὰς αἰτίας.
the same causes

Ἡ τελεία ἀγάπη οὐ συνδιασχίζει τὴν μίαν τῶν ἀνθρώπων 71
the perfect love not divides the one of-the men
φύσιν, ταῖς διαφόροις αὐτῶν γνώμαις· ἀλλ' εἰς αὐτὴν ἀεὶ
nature by-the different of-them opinions but to it always
ἀποβλεπομένη, πάντας ἀνθρώπους ἐξ ἴσου ἀγαπᾷ· τοὺς
looking all men from equal loves the(-ones)
μὲν σπουδαίους, ὡς φίλους· τοὺς δὲ φαύλους, ὡς ἐχθροὺς
indeed earnest as friends the(-ones) and base as enemies
ἀγαπᾷ, εὐεργετοῦσα καὶ μακροθυμοῦσα, καὶ ὑπομένουσα
loves doing-good and being-long-suffering and enduring
τὰ παρ' αὐτῶν ἐπαγόμενα· τὸ κακὸν τὸ συνόλως μὴ
the(-things) from them brought-on the evil — at-all not
λογιζομένη, ἀλλὰ καὶ πάσχουσα ὑπὲρ αὐτῶν, εἰ καιρὸς
reckoning but also suffering for them if occasion
καλέσειεν, ἵνα καὶ αὐτοὺς ποιήσῃ φίλους εἰ οἷόν τε· εἰ
should-call that also them she-may-make friends if possible — if
δὲ μὴ, τῆς γε ἰδίας διαθέσεως οὐκ ἐκπίπτει, τοὺς τῆς
and not from-the at-least own disposition not falls-out the of-the
ἀγάπης καρποὺς ἀεὶ ἐξ ἴσου πρὸς πάντας ἀνθρώπους
love fruits always from equal toward all men
ἐνδεικνυμένη. Διὸ καὶ ὁ Κύριος ἡμῶν καὶ Θεὸς Ἰησοῦς
showing wherefore also the Lord of-us and God Jesus

Χριστὸς, τὴν αὐτοῦ ἀγάπην εἰς ἡμᾶς ἐνδειξάμενος, ὑπὲρ
Christ the of-him love toward us having-shown for
ὅλης τῆς ἀνθρωπότητος ἔπαθεν, καὶ πᾶσιν ἐξ ἴσου τὴν
all the humanity suffered and to-all from equal the
ἐλπίδα τῆς ἀναστάσεως ἐχαρίσατο· εἰ καὶ ἕκαστος ἑαυτὸν,
hope of-the resurrection granted if even each himself
εἴτε δόξης, εἴτε κολάσεως καθίστησιν ἄξιον.
either of-glory or of-punishment makes worthy

72 Ὁ μὴ καταφρονῶν δόξης καὶ ἀτιμίας, πλούτου καὶ
the(-one) not despising glory and dishonor wealth and
πενίας, ἡδονῆς τε καὶ λύπης, τελείαν ἀγάπην οὔπω
poverty pleasure both and grief perfect love not-yet
ἐκτήσατο. Ἡ γὰρ τελεία ἀγάπη οὐ μόνον τούτων καταφρονεῖ,
has-acquired the for perfect love not only these despises
ἀλλὰ καὶ αὐτῆς τῆς προσκαίρου ζωῆς τε καὶ τοῦ θανάτου.
but also very the temporary life both and the death

73 Ἄκουε τῶν καταξιωθέντων τῆς τελείας ἀγάπης, ποῖα
hear the(-ones) having-been-deemed-worthy of-the perfect love what-kind
λέγουσι· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;
they-say who us will-separate from the love — of-Christ
θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ
affliction or distress or persecution or famine or nakedness or
κίνδυνος; ἢ μάχαιρα; καθὼς γέγραπται· Ὅτι ἕνεκα σοῦ
danger or sword as it-has-been-written that for-the-sake-of you
θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα
we-are-put-to-death all the day we-were-reckoned as sheep
σφαγῆς. Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, διὰ τοῦ
of-slaughter but in these all we-more-than-conquer through the(-one)
ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γὰρ, ὅτι οὔτε θάνατος,
having-loved us I-am-persuaded for that neither death
οὔτε ζωὴ, οὔτε ἄγγελοι, οὔτε ἀρχαὶ, οὔτε δυνάμεις, οὔτε
nor life nor angels nor rulers nor powers nor

ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε
present(-things) nor coming(-things) nor height nor depth nor
τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης
any creation other will-be-able us to-separate from the love
τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.
— of-God the in Christ Jesus the Lord of-us
Περὶ δὲ τῆς εἰς τὸν πλησίον ἀγάπης, ἄκουε πάλιν 74
about and the toward the neighbor love hear again
οἷα λέγουσιν· Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι,
such(-things)-as they-say truth I-say in Christ not I-lie
συμμαρτυρούσης μοι καὶ τῆς συνειδήσεώς μου ἐν Πνεύματι
bearing-witness-with me also the conscience of-me in Spirit
ἁγίῳ· ὅτι λύπη μοί ἐστι πολλὴ, καὶ ἀδιάλειπτος ὀδύνη
holy that grief to-me is great and unceasing pain
τῇ καρδίᾳ μου. Ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ
to-the heart of-me I-was-praying for accursed to-be myself I
ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν
from — Christ for the brothers of-me the kinsmen
μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται, καὶ τὰ
of-me according-to flesh who are Israelites and the(-things)
ἑξῆς. Ὡσαύτως καὶ ὁ Μωϋσῆς, καὶ οἱ λοιποὶ ἅγιοι.
following likewise also — Moses and the remaining saints
Ὁ μὴ καταφρονῶν δόξης καὶ ἡδονῆς, καὶ τῆς τούτων 75
the(-one) not despising glory and pleasure and the of-these
αὐξητικῆς, καὶ δι' αὐτὰς συνισταμένης, φιλαργυρίας,
increasing and because-of them being-formed avarice
τὰς τοῦ θυμοῦ προφάσεις ἐκκόπτειν οὐ δύναται. Ὁ δὲ
the of-the temper pretexts cut-off not can the(-one) and
ταύτας μὴ ἐκόπτων, τῆς τελείας ἀγάπης τυχεῖν οὐ δύναται.
these not cutting-off of-the perfect love attain not can

76 Ταπείνωσις καὶ κακοπάθεια, πάσης ἁμαρτίας ἐλευθεροῦσι
humility and hardship from-every sin free
τὸν ἄνθρωπον· ἡ μὲν, τὰ τῆς ψυχῆς· ἡ δὲ,
the man the(-one) indeed the(-ones) of-the soul the(-other) and
τὰ τοῦ σώματος περικόπτουσα πάθη. Τοῦτο γὰρ ποιῶν
the of-the body cutting-off passions this for doing
καὶ ὁ μακάριος φαίνεται Δαβὶδ, ἐν οἷς εὔχεται
also the blessed appears David in which(-words) he-prays
πρὸς τὸν Θεὸν, λέγων· Ἰδὲ τὴν ταπείνωσίν μου καὶ τὸν
toward — God saying see the humility of-me and the
κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
toil of-me and forgive all the sins of-me

77 Διὰ μὲν τῶν ἐντολῶν ὁ Κύριος, ἀπαθεῖς τοὺς
through indeed the commandments the Lord dispassionate the(-ones)
ἐργαζομένους αὐτὰς ἀποτελεῖ· διὰ δὲ τῶν θείων
working them makes through and the divine
δογμάτων, τὸν φωτισμὸν τῆς γνώσεως αὐτοῖς χαρίζεται.
doctrines the illumination of-the knowledge to-them grants

78 Πάντα τὰ δόγματα, ἢ περὶ Θεοῦ εἰσιν, ἢ περὶ ὁρατῶν
all the doctrines either about God are or about visible(-things)
καὶ ἀοράτων, ἢ περὶ τῆς ἐν αὐτοῖς προνοίας καὶ κρίσεως.
and invisible(-things) or about the in them providence and judgment

79 Ἡ μὲν ἐλεημοσύνη, τὸ θυμικὸν μέρος τῆς ψυχῆς
the indeed almsgiving the irascible part of-the soul
θεραπεύει· ἡ δὲ νηστεία, τὴν μὲν ἐπιθυμίαν μαραίνει· ἡ
heals the and fasting the indeed desire withers the
δὲ προσευχὴ, τὸν νοῦν καθαίρει, καὶ πρὸς τὴν τῶν
and prayer the mind cleanses and toward the of-the(-things)
ὄντων θεωρίαν παρασκευάζει. Πρὸς γὰρ τὰς δυνάμεις
being contemplation prepares toward for the powers
τῆς ψυχῆς, καὶ τὰς ἐντολὰς ὁ Κύριος ἡμῖν ἐχαρίσατο.
of-the soul also the commandments the Lord to-us granted

Μάθετε ἀπ᾽ ἐμοῦ, φησὶν, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ 80
learn from me he-says that meek I-am and lowly in-the
καρδίᾳ, καὶ τὰ ἑξῆς. Ἡ μὲν πραότης, ἀτάραχον
heart and the(-things) following the indeed meekness untroubled
τὸν θυμὸν διαφυλάττει· ἡ δὲ ταπείνωσις, τύφου καὶ
the temper guards the and humility from-pride and
κενοδοξίας τὸν νοῦν ἐλευθεροῖ.
vainglory the mind frees

Διττός ἐστιν ὁ τοῦ Θεοῦ φόβος· ὁ μὲν ἐκ τῶν 81
twofold is the — of-God fear the(-one) indeed from the
ἀπειλῶν τῆς κολάσεως ἡμῖν ἐντικτόμενος, δι᾽ ὃν ἡ
threats of-the punishment in-us being-engendered because-of which the
ἐγκράτεια καὶ ἡ ὑπομονὴ, καὶ ἡ εἰς Θεὸν ἐλπὶς, καὶ ἡ
continence and the endurance and the toward God hope and the
ἀπάθεια, ἐξ ἧς ἡ ἀγάπη, κατὰ τάξιν ἡμῖν ἐγγίνονται·
dispassion from which the love in order in-us arise
ὁ δὲ, αὐτῇ τῇ ἀγάπῃ συνέζευκται, εὐλάβειαν τῇ
the(-other) and very to-the love is-yoked reverence in-the
ψυχῇ ἀεὶ ἐμποιῶν, ἵνα μὴ διὰ τὴν τῆς ἀγάπης
soul always producing that not because-of the of-the love
παῤῥησίαν, εἰς καταφρόνησιν Θεοῦ ἔλθῃ.
boldness into contempt of-God it-come

Τὸν μὲν πρῶτον φόβον ἔξω βάλλει ἡ τελεία ἀγάπη 82
the indeed first fear outside casts the perfect love
τῆς ψυχῆς τῆς κεκτημένης αὐτὴν, μηκέτι τὴν κόλασιν
of-the soul the having-acquired it no-longer the punishment
φοβουμένης· τὸν δὲ δεύτερον, ἑαυτῇ ἔχει ἀεὶ, ὡς εἴρηται
fearing the and second to-itself has always as it-has-been-said
συνεζευγμένον. Καὶ τῷ μὲν πρώτῳ φόβῳ, ἁρμόζει τὸ,
yoked and to-the indeed first fear fits the
Τῷ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. Καὶ,
by-the fear of-(the)-Lord turns-aside every(-one) from evil and

Ἀρχὴ σοφίας φόβος Κυρίου. Τῷ δὲ δευτέρῳ, τὸ, Ὁ
beginning of-wisdom fear of-(the)-Lord to-the and second the the
φόβος Κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. Καὶ
fear of-(the)-Lord pure enduring to age of-age and
τὸ, Οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
the not is lack to-the(-ones) fearing him

83 Νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς· πορνείαν,
put-to-death the members of-you the upon the earth fornication
ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν,
uncleanness passion desire evil and the covetousness
καὶ τὰ ἑξῆς. Γῆν μὲν ὠνόμασε, τὸ φρόνημα τῆς
and the(-things) following earth indeed he-named the mind of-the
σαρκός· πορνείαν δὲ εἶπε, τὴν κατ' ἐνέργειαν ἁμαρτίαν·
flesh fornication and he-called the in act sin
ἀκαθαρσίαν δὲ, τὴν συγκατάθεσιν ἐκάλεσε· πάθος δὲ, τὸν
uncleanness and the assent he-called passion and the
ἐμπαθῆ λογισμὸν ὠνόμασεν· ἐπιθυμίαν δὲ κακὴν, τὴν
passionate thought he-named desire and evil the
ψιλὴν τοῦ λογισμοῦ τῆς ἐπιθυμίας παραδοχήν· πλεονεξίαν
bare of-the thought of-the desire acceptance covetousness
δὲ, τὴν γεννητικήν τε καὶ αὐξητικὴν τοῦ πάθους ὠνόμασεν
and the generative both and increasing of-the passion he-named
ὕλην. Ταῦτα οὖν πάντα ὡς μέλη ὄντα τοῦ φρονήματος
matter these then all as members being of-the mind
τῆς σαρκὸς, ἐκέλευσεν ὁ θεῖος Ἀπόστολος νεκρῶσαι.
of-the flesh commanded the divine Apostle to-put-to-death

84 Πρῶτον μὲν ἡ μνήμη, ψιλὸν τὸν λογισμὸν ἐπὶ τὸν
first indeed the memory bare the thought to the
νοῦν ἀναφέρει· καὶ τούτου ἐγχρονίζοντος, κινεῖται τὸ
mind brings-up and this lingering is-moved the
πάθος· τούτου δὲ μὴ ἀναιρουμένου, κάμπτει τὸν νοῦν εἰς
passion this and not being-removed it-bends the mind to

συγκατάθεσιν· ταύτης δὲ γενομένης. ἔρχεται λοιπὸν εἰς τὴν
assent this and having-happened it-comes finally to the
κατ᾽ ἐνέργειαν ἁμαρτίαν. Ὁ οὖν πάνσοφος Ἀπόστολος πρὸς
in act sin the then all-wise Apostle to
τοὺς ἀπὸ ἐθνῶν γράφων, τὸ ἀποτέλεσμα πρῶτον κελεύει
the(-ones) from gentiles writing the outcome first commands
ἀναιρεῖν τῆς ἁμαρτίας· εἶτα κατὰ τάξιν ἀναποδίζοντας, εἰς
to-remove of-the sin then in order stepping-back to
τὴν αἰτίαν καταλήγειν. Ἡ δὲ αἰτία ἐστὶν, ἡ γεννητικὴ,
the cause to-end the and cause is the generative
ὡς προείρηται, καὶ αὐξητικὴ τοῦ πάθους πλεονεξία. Οἶμαι
as has-been-said-before and increasing of-the passion covetousness I-think
δὲ ἐνταῦθα τὴν γαστριμαργίαν σημαίνειν, ὡς μητέρα καὶ
and here the gluttony to-signify as mother and
τροφὸν τῆς πορνείας ὑπάρχουσαν. Ἡ γὰρ πλεονεξία, οὐ
nurse of-the fornication being the for covetousness not
μόνον ἐπὶ χρημάτων, ἀλλὰ καὶ ἐπὶ βρωμάτων κακή.
only in money but also in foods evil
Ὥσπερ καὶ ἡ ἐγκράτεια, οὐ μόνον ἐπὶ βρωμάτων, ἀλλὰ
just-as also the continence not only in foods but
καὶ ἐπὶ χρημάτων καλή.
also in money good
Ὥσπερ στρουθίον τὸν πόδα δεδεμένον ἀρχόμενον πέτεσθαι, 85
just-as sparrow the foot bound beginning to-fly
ἐπὶ τὴν γῆν κατασπᾶται σχοινίῳ ἑλκόμενον· οὕτω
to the earth is-dragged-down by-cord being-drawn thus
καὶ ὁ νοῦς μήπω ἀπάθειαν κτησάμενος, καὶ ἐπὶ τὴν
also the mind not-yet dispassion having-acquired and to the
τῶν οὐρανίων γνῶσιν πετόμενος, ὑπὸ τῶν παθῶν
of-the heavenly(-things) knowledge flying by the passions
καθελκόμενος, ἐπὶ τὴν γῆν κατασπᾶται.
being-pulled-down to the earth is-dragged-down

86 Ὅτε νοῦς τελείως τῶν παθῶν ἐλευθερωθῇ, τότε καὶ ἐπὶ
when mind perfectly from-the passions is-freed then also to
τὴν θεωρίαν τῶν ὄντων ἀμεταστρεπτὶ ὁδεύει, ἐπὶ
the contemplation of-the(-things) being without-turning-back travels to
τὴν γνῶσιν τῆς ἁγίας Τριάδος τὴν πορείαν ποιούμενος
the knowledge of-the holy Trinity the journey making

87 Καθαρὸς ὑπάρχων ὁ νοῦς, τὰ νοήματα τῶν πραγμάτων
pure being the mind the concepts of-the things
ἀναλαμβάνων, εἰς τὴν πνευματικὴν θεωρίαν αὐτῶν κινεῖται·
receiving into the spiritual contemplation of-them is-moved
ἀκάθαρτος δὲ ἐκ ῥᾳθυμίας γεγονὼς, τὰ μὲν τῶν λοιπῶν
impure and from sloth having-become the indeed of-the other
πραγμάτων νοήματα ψιλὰ φαντάζεται· τὰ δὲ ἀνθρώπινα
things concepts bare it-imagines the(-ones) and human
δεχόμενος, εἰς αἰσχροὺς ἢ πονηροὺς λογισμοὺς μετατρέπεται.
receiving into shameful or wicked thoughts it-is-turned

88 Ὅταν ἀεὶ ἐν τῷ καιρῷ τῆς προσευχῆς μηδὲν
when always in the time of-the prayer nothing
τῶν τοῦ κόσμου νοημάτων διενοχλήσῃ τῷ νῷ,
of-the of-the world concepts troubles the mind
τότε γίνωσκε σαυτὸν μὴ ἔξω εἶναι τῶν ὅρων τῆς
then know yourself not outside to-be of-the bounds of-the
ἀπαθείας.
dispassion

89 Ὅταν ἡ ψυχὴ ἄρχηται τῆς ἰδίας ὑγείας ἐπαισθάνεσθαι,
when the soul begins the own health to-perceive
τότε καὶ τὰς ἐν τοῖς ὕπνοις φαντασίας, ψιλὰς καὶ
then also the in the sleep fantasies bare and
ἀταράχους ἄρχεται βλέπειν.
untroubled it-begins to-see

Ὥσπερ τὸν αἰσθητὸν ὀφθαλμὸν ἡ καλλονὴ τῶν ὁρατῶν· 90
just-as the sensible eye the beauty of-the visible(-things)
οὕτω καὶ τὸν καθαρὸν νοῦν, ἡ γνῶσις τῶν ἀοράτων
thus also the pure mind the knowledge of-the invisible(-things)
use the of-the soul cleanses state the and pure
κατάστασις, τίκτει τὴν διάκρισιν· ἡ δὲ διάκρισις, τίκτει
state begets the discernment the and discernment begets
τὴν ἀπάθειαν, ἐξ ἧς τίκτεται ἡ τελεία ἀγάπη.
the dispassion from which is-born the perfect love
Οὔπω ἔχει τὴν ἀπάθειαν, ὁ διὰ σύμβασιν πειρασμοῦ, 92
not-yet has the dispassion the(-one) because-of occurrence of-temptation
τὸ ἐλάττωμα τοῦ φίλου παραβλέπειν μὴ δυνάμενος, ἢ
the defect of-the friend to-overlook not being-able either
ὂν τυχὸν, ἢ δὲ εἶναι δοκοῦν. Τὰ γὰρ ἐγκείμενα τῇ
being perhaps or and to-be seeming the for lying-in the

ψυχῇ πάθη ἐκταρασσόμενα, ἐκτυφλοῖ τὴν διάνοιαν, καὶ
soul passions being-stirred-up blind the thought and
οὐκ ἐᾷ διαβλέψαι εἰς τὰς τῆς ἀληθείας αὐγάς, οὐδὲ
not allow to-see-through into the of-the truth rays nor
διακρῖναι τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος. Οὐκ ἄρα οὖν
to-distinguish the better from the worse not then therefore
οὐδὲ τὴν τελείαν ἀγάπην ὁ τοιοῦτος ἐκτήσατο, τὴν
not-even the perfect love the such(-a-one) has-acquired the
ἔξω βάλλουσαν τὸν φόβον τῆς κρίσεως.
outside casting the fear of-the judgment

93 Φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα. Ἐπειδὴ τὰς τοῦ
for-friend faithful not is exchange since the of-the
φίλου συμφορὰς, ἰδίας λογίζεται· καὶ συνυποφέρει αὐτῷ
friend misfortunes own he-reckons and bears-with him
μέχρι θανάτου κακοπαθῶν.
until death suffering-hardship

94 Πολλοὶ μὲν οἱ φίλοι, ἀλλ' ἐν καιρῷ εὐημερίας· ἐν δὲ
many indeed the friends but in time of-prosperity in and
καιρῷ πειρασμῶν, μόλις ἂν εὑρήσεις ἕνα.
time of-temptations scarcely — you-will-find one

95 Πάντα μὲν ἄνθρωπον, ἐκ ψυχῆς ἀγαπητέον· ἐπὶ τῷ
every indeed man from soul one-must-love in —
Θεῷ δὲ μόνῳ τὴν ἐλπίδα θετέον, καὶ ἐξ ὅλης ἰσχύος
God and alone the hope one-must-place and from whole strength
αὐτὸν θεραπευτέον. Ἐφόσον γὰρ αὐτὸς ἡμᾶς συντηρεῖ, οἵ
him one-must-serve as-long-as for he us preserves the
τε φίλοι πάντες ἡμᾶς περιέπουσι, καὶ οἱ ἐχθροὶ πάντες
both friends all us attend and the enemies all
πρὸς ἡμᾶς ἀδυνατοῦσιν. Ἐπὰν δὲ αὐτὸς ἡμᾶς ἐγκαταλίπῃ,
toward us are-powerless when and he us abandons

οἵτε φίλοι πάντες ἡμᾶς ἀποστρέφονται, καὶ οἱ ἐχθροὶ
the-both friends all us turn-away-from and the enemies
πάντες καθ᾽ ἡμῶν ἰσχύουσι.
all against us are-strong

Τέσσαρές εἰσι γενικοὶ ἐγκαταλείψεως τρόποι· ἡ μὲν, 96
four are generic of-abandonment ways the(-one) indeed
οἰκονομικὴ, ὡς ἐπὶ τοῦ Κυρίου· ἵνα διὰ τῆς δοκούσης
providential as in-the-case-of the Lord that through the seeming
ἐγκαταλείψεως, οἱ ἐγκαταλελειμμένοι σωθῶσιν. Ἡ
abandonment the(-ones) having-been-abandoned may-be-saved the(-one)
δὲ, πρὸς δοκιμὴν, ὡς ἐπὶ τοῦ Ἰὼβ καὶ Ἰωσήφ·
and for testing as in-the-case-of — Job and Joseph
ἵνα ὁ μὲν, ἀνδρείας· ὁ δὲ, σωφροσύνης στῆλαι
that the(-one) indeed of-courage the(-other) and of-chastity pillars
ἀναφανῶσιν. Ἡ δὲ, πρὸς παίδευσιν πνευματικὴν, ὡς
may-be-shown the(-one) and for instruction spiritual as
ἐπὶ τοῦ Ἀποστόλου, ἵνα ταπεινοφρονῶν, τὴν ὑπερβολὴν
in-the-case-of the Apostle that being-humble the excess
φυλάξῃ τῆς χάριτος. Ἡ δὲ κατὰ ἀποστροφὴν, ὡς
he-may-guard of-the grace the(-one) and according-to turning-away as
ἐπὶ τῶν Ἰουδαίων, ἵνα κολαζόμενοι πρὸς μετάνοιαν
in-the-case-of the Jews that being-punished toward repentance
κατακαμφθῶσι. Σωτήριοι δὲ πάντες οἱ τρόποι ὑπάρχουσι,
they-may-be-bent saving and all the ways are
καὶ τῆς θείας ἀγαθότητος καὶ φιλανθρωπίας ἀνάμεστοι.
and of-the divine goodness and love-of-man full

Μόνοι οἱ ἀκριβεῖς τῶν ἐντολῶν φύλακες, καὶ γνήσιοι 97
only the precise of-the commandments guardians and genuine
τῶν θείων κριμάτων μύσται, τοὺς κατὰ συγχώρησιν
of-the divine judgments initiates the(-ones) by permission
Θεοῦ πειραζομένους, οὐ καταλιμπάνουσι φίλους. Οἱ δὲ
of-God being-tempted not abandon friends the(-ones) and

τῶν ἐντολῶν καταφρονηταὶ, καὶ τῶν θείων κριμάτων
of-the commandments despisers and of-the divine judgments
ἀμύητοι, ὅταν μὲν ὁ φίλος εὐημερῇ, συναπολαύουσιν
uninitiated when indeed the friend prospers enjoy-with
αὐτῷ· ἐπὰν δὲ πειραζόμενος κακοπαθῇ, καταλιμπάνουσιν
him when and being-tempted he-suffers-hardship they-abandon
αὐτόν. Ἔστι δὲ ὅταν καὶ μετὰ τῶν ἐναντίων ἵστανται.
him it-is and when also with the opponents they-stand
98 Οἱ μὲν τοῦ Χριστοῦ φίλοι, πάντας ἀγαπῶσι γνησίως.
the indeed — of-Christ friends all love genuinely
Οὐχ ὑπὸ πάντων δὲ ἀγαπῶνται. Οἱ δὲ τοῦ κόσμου φίλοι,
not by all and are-loved the and of-the world friends
οὐδὲ πάντας ἀγαπῶσι, οὐδὲ ὑπὸ πάντων ἀγαπῶνται. Καὶ
neither all love nor by all are-loved and
οἱ μὲν τοῦ Χριστοῦ, μέχρι τέλους τὴν συνέχειαν τῆς
the(-ones) indeed — of-Christ until end the continuity of-the
ἀγάπης διατηροῦσιν· οἱ δὲ τοῦ κόσμου, μέχρις οὗ
love keep the(-ones) and of-the world until —
ἀλλήλοις διὰ τὰ κόσμου προσκρούσωσι.
with-one-another because-of the(-things) of-world they-clash
99 Φίλος πιστὸς, σκέπη κραταιά. Ἐπειδὴ καὶ εὐημεροῦντι τῷ
friend faithful shelter strong since both prospering to-the
φίλῳ σύμβουλός ἐστιν ἀγαθὸς καὶ συνεργὸς σύμψυχος·
friend counselor is good and fellow-worker like-souled
καὶ κακοπαθοῦντι ἀντιλήπτωρ γνησιώτατος καὶ ὑπέρμαχος
and suffering-hardship helper most-genuine and champion
συμπαθέστατος.
most-sympathetic
100 Πολλοὶ μὲν πολλὰ περὶ ἀγάπης εἰρήκασιν· ἐν μόνοις
many indeed many(-things) about love have-spoken in only
δὲ τοῖς Χριστοῦ μαθηταῖς ταύτην ζητήσας, εὑρήσεις· ἐπεὶ
and the of-Christ disciples it having-sought you-will-find since

καὶ μόνοι αὐτοὶ εἶχον τὴν ἀληθινὴν Ἀγάπην τῆς ἀγάπης
also only they had the true Love of-the love
διδάσκαλον, περὶ ἧς ἔλεγον· Ἐὰν ἔχω προφητείαν, καὶ
teacher about which they-said if I-have prophecy and
εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν τὴν γνῶσιν, ἀγάπην
I-know the mysteries all and all the knowledge love
δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ὁ οὖν κτησάμενος τὴν
and not I-have nothing I-am-profited the(-one) then having-acquired the
ἀγάπην, αὐτὸν τὸν Θεὸν ἐκτήσατο· ἐπειδὴ ὁ Θεὸς ἀγάπη
love very — God has-acquired since — God love
ἐστίν. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.
is to-him the glory to the ages amen

ΛΟΓΟΣ ΑΣΚΗΤΙΚΟΣ

The Ascetic Life

A brother asks an old man the aim of the Lord's incarnation and which commandments he must keep. The old man bids him imitate the Lord with the power the Lord gives, as Paul and David did, and leave foods, money, possessions, glory, and kin. The brother cannot love the one who hates him, and the old man explains that the Lord became man to keep the commandment of love, which the devil tried to make him break.

Ἀδελφὸς ἠρώτησε γέροντα, λέγων· Παρακαλῶ σε, 1
brother asked old-man saying I-beseech you
Πάτερ, εἰπεῖν μοι, τίς ὁ σκοπὸς ἦν τῆς τοῦ Κυρίου
Father to-tell me what the aim was of-the of-the Lord
ἐνανθρωπήσεως; Καὶ ὁ γέρων ἀποκριθεὶς εἶπε· Θαυμάζω
incarnation and the old-man having-answered said I-marvel-at
σε, Ἀδελφέ, ὅτι καθ' ἡμέραν τοῦ συμβόλου ἀκούων τῆς
you Brother that each day the creed hearing of-the
πίστεως, περὶ τούτου με ἐρωτᾷς. Πλὴν λέγω σοι, ὅτι
faith about this me you-ask but I-tell you that
ὁ σκοπὸς τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως, ἡ ἡμετέρα
the aim of-the of-the Lord incarnation the our
ἦν σωτηρία. Καὶ ὁ Ἀδελφὸς εἶπε· Πῶς λέγεις, Πάτερ;
was salvation and the Brother said how do-you-say Father
Καὶ ἀπεκρίθη ὁ γέρων· Ἐπειδὴ γὰρ ὁ ἄνθρωπος ἀπ'
and answered the old-man since for the man from
ἀρχῆς γεγονὼς ὑπὸ τοῦ Θεοῦ, καὶ ἐν τῷ παραδείσῳ
beginning having-been-made by — God and in the paradise
τεθεὶς, τὴν ἐντολὴν παραβὰς, τῇ φθορᾷ καὶ
having-been-placed the commandment having-transgressed to-the corruption and
τῷ θανάτῳ ὑπέπεσεν· εἶτα τῇ ποικίλῃ τοῦ Θεοῦ προνοίᾳ
to-the death fell-under then by-the manifold — of-God providence
κατὰ πᾶσαν γενεὰν καὶ γενεὰν κυβερνώμενος, ἐπέμενεν
in every generation and generation being-steered he-continued

ἐπὶ τὸ χεῖρον προκόπτων, ὑπὸ τῶν ποικίλων τῆς σαρκὸς
toward the worse advancing by the manifold of-the flesh
παθημάτων ἀγόμενος τῷ ἀπελπισμῷ τῆς ζωῆς· τούτου
passions being-led to-the despair of-the life of-this
χάριν ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, ὁ προαιώνιος Λόγος
for-the-sake the only-begotten — of-God Son the before-the-ages Word
ὁ ἐκ Θεοῦ Πατρὸς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας,
the from God Father the spring of-the life and of-the immortality
ἐπέφανεν ἡμῖν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου
appeared to-us the(-ones) in darkness and shadow of-death
καθημένοις· σαρκωθεὶς ἐκ Πνεύματος ἁγίου, καὶ τῆς
sitting having-been-made-flesh from Spirit holy and the
ἁγίας Παρθένου· καὶ πολιτείαν ἡμῖν θεοειδοῦς ζωῆς ἐπέδειξε·
holy Virgin and way-of-life to-us of-godlike life he-showed
καὶ ἐντολὰς ἁγίας δεδωκὼς, καὶ βασιλείαν οὐρανῶν
and commandments holy having-given and kingdom of-heavens
ἐπαγγειλάμενος τοῖς κατ᾽ αὐτὰς πολιτευομένοις, καὶ
having-promised to-the(-ones) according-to them living-as-citizens and
κόλασιν αἰώνιον τοῖς παραβαίνουσιν ἀπειλήσας· καὶ
punishment eternal to-the(-ones) transgressing having-threatened and
παθὼν τὸ σωτήριον πάθος, καὶ ἐκ νεκρῶν ἀναστὰς, τὴν
having-suffered the saving passion and from dead having-risen the
ἐλπίδα τῆς ἀναστάσεως καὶ τῆς αἰωνίου ζωῆς ἐδωρήσατο
hope of-the resurrection and of-the eternal life he-granted
ἡμῖν· τὸ κατάκριμα δι᾽ ὑπακοῆς λύσας τῆς προγονικῆς
us the condemnation through obedience having-loosed of-the ancestral
ἁμαρτίας· καὶ τὸ κράτος τοῦ θανάτου θανάτῳ καταργήσας·
sin and the power of-the death by-death having-abolished
ἵνα, ὥσπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως ἐν
so-that as in — Adam all die thus in
αὐτῷ πάντες ζωοποιηθήσονται· καὶ εἰς οὐρανοὺς ἀνελθὼν,
him all will-be-made-alive and into heavens having-gone-up

καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς καθεσθεὶς, τὸ Πνεῦμα τὸ ἅγιον
and at right-hand of-the Father having-sat the Spirit the holy
κατέπεμψεν εἰς ἀῤραβῶνα τῆς ζωῆς· καὶ εἰς φωτισμὸν καὶ
he-sent-down for pledge of-the life and for illumination and
ἁγιασμὸν τῶν ἡμετέρων ψυχῶν· καὶ εἰς βοήθειαν τῶν
sanctification of-the our souls and for help of-the(-ones)
ἀγωνιζομένων ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας φυλάξαι τὰς
striving for the of-themselves salvation to-keep the
ἐντολὰς αὐτοῦ. Οὗτος ἦν ὁ σκοπὸς τῆς τοῦ Κυρίου
commandments of-him this was the aim of-the of-the Lord
ἐνανθρωπήσεως, ὡς ἐν συντόμῳ εἰπεῖν.
incarnation as in brief to-say
Καὶ ὁ Ἀδελφὸς εἶπε· Ποίας οὖν ἐντολὰς ὀφείλω ποιῆσαι, 2
and the Brother said which then commandments ought-I to-do
Πάτερ, ἵνα δι᾽ αὐτῶν σωθῶ, ἤθελον συντόμως
Father so-that through them I-may-be-saved I-would-wish briefly
ἀκοῦσαι. Καὶ ἀπεκρίθη ὁ γέρων· Αὐτὸς ὁ Κύριος
to-hear and answered the old-man himself the Lord
εἶπε μετὰ τὴν ἀνάστασιν τοῖς ἀποστόλοις· Πορευθέντες,
said after the resurrection to-the apostles having-gone
μαθητεύσατε πάντα τὰ ἔθνη· βαπτίζοντες αὐτοὺς εἰς τὸ
make-disciples-of all the nations baptizing them into the
ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος·
name of-the Father and of-the Son and of-the holy Spirit
διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην
teaching them to-keep all as-many-as I-commanded
ὑμῖν. Ὥστε οὖν ὅσα ἐνετείλατο δεῖ τηρεῖν, πάντα
you so-that then as-many-as he-commanded one-must keep every
ἄνθρωπον βαπτισθέντα εἰς τὸ ὄνομα τῆς ζωοποιοῦ καὶ
man baptized into the name of-the life-giving and
θεαρχικῆς Τριάδος. Τούτου γὰρ χάριν τῇ ὀρθῇ πίστει
thearchic Trinity of-this for for-the-sake to-the right faith

ὁ Κύριος τὴν πασῶν τῶν ἐντολῶν συνέζευξε τήρησιν·
the Lord the of-all of-the commandments joined keeping
ὡς εἰδὼς, ὅτι ἀμήχανον τὴν μίαν διαζευχθεῖσαν τῆς
as knowing that impossible(-it-is) the one disjoined from-the
μιᾶς σώζειν τὸν ἄνθρωπον. Διὰ τοῦτο καὶ ὁ Δαβὶδ τὴν
one to-save the man because-of this also — David the
ὀρθὴν πίστιν ἔχων, πρὸς τὸν Θεὸν ἔλεγε· Πρὸς πάσας τὰς
right faith having toward — God said toward all the
ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.
commandments of-you I-was-directed every way unjust I-hated
Κατὰ γὰρ πάσης ὁδοῦ ἀδίκου, πᾶσαι ἡμῖν αἱ ἐντολαὶ
against for every way unjust all to-us the commandments
ὑπὸ τοῦ Κυρίου δεδώρηνται· καὶ ἐὰν παραλειφθῇ μία, τὴν
by the Lord have-been-given and if be-left-aside one the
ἀντικειμένην αὐτῇ ὁδὸν τῆς κακίας ἀντεισάγει πάντως.
opposed to-it way of-the vice it-brings-in-instead surely
3 Καὶ εἶπεν ὁ Ἀδελφός· Καὶ τίς δύναται, Πάτερ, [πάσας
and said the Brother and who can Father all
τὰς ἐντολὰς, τοσαύτας γε οὔσας, ποιεῖν; Ἔφη ὁ
the commandments so-many at-least being do said the
γέρων· Ὁ τὸν Κύριον ἐκμιμούμενος, καὶ κατ᾽ ἴχνος
old-man the(-one) the Lord imitating and in track
αὐτῷ ἐπακολουθῶν. Καὶ εἶπεν ὁ Ἀδελφός· Καὶ τίς
him following and said the Brother and who
δύναται] τὸν Κύριον μιμήσασθαι; ὁ γὰρ Κύριος ἦν
can the Lord imitate the for Lord was
Θεὸς, εἰ καὶ ἄνθρωπος γέγονεν· ἐγὼ δὲ ἄνθρωπός εἰμι
God if even man he-became I and man am
ἁμαρτωλὸς, καὶ μυρίοις πάθεσι δεδουλωμένος· πῶς οὖν
sinner and to-myriad passions enslaved how then
δύναμαι τὸν Κύριον μιμήσασθαι; Καὶ ἀπεκρίθη ὁ γέρων·
can-I the Lord imitate and answered the old-man

Τῶν τῇ ὕλῃ τοῦ κόσμου δεδουλωμένων, οὐδεὶς
of-the(-ones) to-the matter of-the world enslaved no-one
δύναται τὸν Κύριον μιμήσασθαι· οἱ δὲ δυνάμενοι
can the Lord imitate the(-ones) and being-able
λέγειν· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν
to-say behold we left all and followed
σοι· ἐκεῖνοι λαμβάνουσι δύναμιν τοῦ τε μιμήσασθαι αὐτὸν,
you those receive power of-the both to-imitate him
καὶ τοῦ πρὸς πάσας τὰς ἐντολὰς αὐτοῦ κατορθῶσαι.
and of-the toward all the commandments of-him to-succeed
Καί φησιν Ἀδελφός· Ποίαν δύναμιν; ἀπεκρίθη ὁ γέρων·
and says Brother what power answered the old-man
Αὐτοῦ ἄκουσον λέγοντος· Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν
him hear saying behold I-have-given you authority
πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν
to-tread upon serpents and scorpions and upon all the
δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει.
power of-the enemy and nothing you not — will-harm
Ταύτην τὴν δύναμιν καὶ τὴν ἐξουσίαν λαβὼν ὁ Παῦλος, 4
this the power and the authority having-received — Paul
ἔλεγε· Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. Καὶ
said imitators of-me become as I-too of-Christ and
πάλιν· Οὐκ ἔστι νῦν κατάκριμα τοῖς ἐν Χριστῷ
again not is now condemnation to-the(-ones) in Christ
Ἰησοῦ, μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ
Jesus not according-to flesh walking but according-to
πνεῦμα. Καὶ πάλιν· Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα
spirit and again the(-ones) and — of-Christ the flesh
ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Καὶ
crucified with the passions and the desires and
πάλιν· Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ.
again to-me world has-been-crucified and-I to-the world

Περὶ ταύτης τῆς ἐξουσίας καὶ βοηθείας προφητεύων ὁ
about this the authority and help prophesying —
Δαβὶδ, ἔλεγε· Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου,
David said the(-one) dwelling in help of-the Most-High
ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ
in shelter — of-God of-the heaven will-lodge he-will-say
τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ
to-the Lord helper of-me you-are and refuge of-me —
Θεός μου, καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν. Καὶ μετ᾽ ὀλίγα· Ἐπὶ
God of-me and I-will-hope on him and after few(-words) upon
ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα
asp and basilisk you-will-tread and you-will-trample lion
καὶ δράκοντα· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ
and dragon because to-the angels of-him he-will-command about
σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Οἱ
you the to-guard you in all the ways of-you the(-ones)
δὲ τῇ σαρκὶ προσκείμενοι, καὶ τὴν ὕλην ἀγαπῶντες
and to-the flesh devoted and the matter loving
τοῦ κόσμου, ἄκουε ποῖα παρ᾽ αὐτοῦ ἀκούουσιν·
of-the world hear what-sort(-things) from him they-hear
Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου
the(-one) loving father or mother above me not is of-me
ἄξιος. Καὶ μετ᾽ ὀλίγα· Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν
worthy and after few(-words) and who not takes the cross
αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Καὶ,
of-him and follows after me not is of-me worthy and
Ὅστις οὐκ ἀποτάσσεται πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ,
whoever not renounces all the(-things) belonging to-him
οὐ δύναταί μου εἶναι μαθητής. Ὁ οὖν θέλων γενέσθαι
not can of-me be disciple the(-one) then wishing to-become
αὐτοῦ μαθητὴς, καὶ ἄξιος αὐτοῦ εὑρεθῆναι· καὶ δύναμιν
of-him disciple and worthy of-him to-be-found and power

παρ᾽ αὐτοῦ λαβεῖν κατὰ τῶν πνευμάτων τῆς πονηρίας,
from him to-receive against the spirits of-the wickedness
χωρίζει ἑαυτὸν πάσης σαρκικῆς σχέσεως· καὶ γυμνοῖ
separates himself from-every fleshly attachment and strips
ἑαυτὸν πάσης ὑλικῆς προσπαθείας· καὶ οὕτως πρὸς τοὺς
himself of-every material attachment and thus against the
ἀοράτους ἐχθροὺς ὑπὲρ τῶν ἐντολῶν αὐτοῦ ἀγωνίζεται·
invisible enemies for the commandments of-him he-strives
ὡς αὐτὸς ὁ Κύριος ἑαυτὸν τύπον ἡμῖν παρέσχεν, ἔν τε
as himself the Lord himself type to-us provided in both
τῇ ἐρήμῳ ὑπὸ τοῦ ἀρχηγοῦ αὐτῶν πειραζόμενος· καὶ ἐν
the desert by the chief of-them being-tempted and in
τῇ οἰκουμένῃ ἐλθὼν, ὑπὸ τῶν ὑπ᾽ αὐτοῦ ἐνεργουμένων.
the inhabited-world having-come by the(-ones) by him being-worked
Καὶ ὁ Ἀδελφὸς εἶπεν· Ἀλλὰ πολλαί εἰσι, Πάτερ, αἱ τοῦ 6
and the Brother said but many are Father the of-the
Κυρίου ἐντολαί· καὶ τίς δύναται πάσας ἔχειν κατὰ νοῦν,
Lord commandments and who can all have in mind
ἵνα ὑπὲρ πασῶν ἀγωνίσηται; ἐγὼ δὲ μάλιστα, ὀλιγόνους
so-that for all he-may-strive I and especially small-minded
ὑπάρχων; σύντομον λόγον ἤθελον ἀκοῦσαι, ἵνα αὐτὸν
being brief word I-would-wish to-hear so-that it
κρατῶν, δι᾽ αὐτοῦ ἐσωζόμην. Καὶ ἀπεκρίθη ὁ γέρων· Εἰ
holding through it I-might-be-saved and answered the old-man if
καὶ πολλαί εἰσιν, Ἀδελφὲ, ἀλλ᾽ ἐνὶ λόγῳ ἀνακεφαλαιοῦνται,
even many they-are Brother yet in-one word they-are-summed-up
ἐν τῷ, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς
in the you-will-love (the)-Lord the God of-you from whole the
ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον
strength of-you and from whole the mind of-you and the neighbor
σου ὡς ἑαυτόν. Καὶ ὁ ἀγωνιζόμενος τοῦτον κρατεῖν
of-you as yourself and the(-one) striving this to-hold

τὸν λόγον, πάσας ὁμοῦ τὰς ἐντολὰς κατορθοῖ. Οὐ δύναται
the word all together the commandments achieves not can
δέ τις μὴ χωρίσας ἑαυτὸν, ὡς προείρηται, τῆς τῶν
and anyone not having-separated himself as has-been-said-before from-the of-the
ὑλικῶν προσπαθείας, οὔτε τὸν Θεὸν, οὔτε τὸν πλησίον
material(-things) attachment neither — God nor the neighbor
ἀγαπῆσαι γνησίως· ἐπειδὴ ὁμοῦ τῇ ὕλῃ προσκεῖσθαι, καὶ
love genuinely since together to-the matter to-be-devoted and
τὸν Θεὸν ἀγαπῆσαι, ἀμήχανον. Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ
— God to-love impossible(-it-is) and this is what says the
Κύριος· Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. Καί· Οὐδεὶς
Lord no-one can two lords serve and no-one
δύναται Θεῷ δουλεύειν καὶ μαμωνᾷ. Ὅσον γὰρ ὁ νοῦς
can God serve and mammon as-much-as for the mind
ἡμῶν τῶν τοῦ κόσμου ἀντέχεται πραγμάτων, δεδούλωται
of-us the of-the world holds-to things it-is-enslaved
αὐτοῖς, καὶ καταφρονεῖ τὴν ἐντολὴν τοῦ Θεοῦ παραβαίνων.
to-them and despises the commandment — of-God transgressing(-it)
7 Καὶ ὁ Ἀδελφὸς εἶπε· Ποίων πραγμάτων λέγεις, Πάτερ;
and the Brother said what things do-you-mean Father
Καὶ ὁ γέρων ἀπεκρίθη· Βρωμάτων, χρημάτων, κτημάτων,
and the old-man answered foods money possessions
δόξης, συγγενῶν, καὶ τῶν ἑξῆς. Καὶ ὁ Ἀδελφὸς
glory kinsmen and the(-things) following and the Brother
εἶπεν· Εἰπὲ, Πάτερ, οὐχὶ ὁ Θεὸς αὐτὰ ἔκτισε, καὶ τοῖς
said tell(-me) Father not — God them did-he-create and to-the
ἀνθρώποις εἰς χρῆσιν δέδωκε; καὶ πῶς κελεύει αὐτῶν μὴ
men for use has-he-given and how does-he-command them not
ἀντέχεσθαι; Καὶ ἀπεκρίθη ὁ γέρων· Δῆλον ὅτι ὁ Θεὸς αὐτὰ
to-hold-to and answered the old-man clear(-it-is) that — God them
ἔκτισε, καὶ δέδωκεν εἰς χρῆσιν τοῖς ἀνθρώποις. Καὶ, καλὰ
created and gave for use to-the men and good(-are)

πάντα τὰ ὑπὸ τοῦ Θεοῦ γεγονότα, ἵνα καλῶς αὐτοῖς
all the(-things) by — God made so-that well them
χρησάμενοι, τῷ Θεῷ εὐαρεστήσωμεν· ἀλλ' ἡμεῖς ἀσθενεῖς
having-used — to-God we-may-be-well-pleasing but we weak
ὄντες, καὶ ὑλικοὶ τῇ διανοίᾳ. προετιμήσαμεν τὰ ὑλικὰ
being and material in-the mind preferred the material(-things)
τῆς ἐντολῆς τῆς ἀγάπης· καὶ αὐτῶν ἀντεχόμενοι, τοῖς
to-the commandment of-the love and them holding-to with-the
ἀνθρώποις μαχόμεθα· δέον πάντων τῶν ὁρωμένων,
men we-fight it-being-needful than-all the(-things) seen
καὶ αὐτοῦ τοῦ σώματος, τὴν παντὸς ἀνθρώπου προτιμῆσαι
and itself the body the of-every man to-prefer
ἀγάπην· ἥτις ἐστὶν γνώρισμα τῆς εἰς Θεὸν ἀγάπης,
love which is token of-the toward God love
καθὼς αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις δείκνυσιν· Ὁ
as himself the Lord in Gospels shows the(-one)
ἀγαπῶν ἐμέ, φησὶ, τὰς ἐντολάς μου τηρήσει. Καὶ τίς
loving me he-says the commandments of-me will-keep and what
ἐστιν ἡ ἐντολὴ ἣν τηρήσαντες, αὐτὸν ἀγαπήσωμεν,
is the commandment which having-kept him we-may-love
αὐτοῦ ἄκουσον, λέγοντος· Αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ
him hear saying this and is the commandment the
ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους. Ὁρᾷς ὅτι ἡ ἀλλήλων ἀγάπη,
my that you-love one-another do-you-see that the of-one-another love
τὴν εἰς Θεὸν ἀγάπην συνίστησιν, ἥτις ἐστὶ πλήρωμα
the toward God love establishes which is fullness
πάσης Θεοῦ ἐντολῆς; Διὰ τοῦτο οὖν κελεύει αὐτῶν μὴ
of-every of-God commandment because-of this then he-commands them not
ἀντέχεσθαι· ἀλλὰ καὶ ἀποτάξασθαι πᾶσι τοῖς ὑπάρχουσιν
to-hold-to but also to-renounce all the(-things) belonging
αὐτῷ, πάντα τὸν αὐτῷ μαθητεύειν ἐπιθυμητικῶς ἔχοντα.
to-him every the(-one) him to-be-discipled desirously having

8 Καὶ ὁ Ἀδελφὸς εἶπεν· Ἐπειδὴ εἶπες, Πάτερ, ὅτι δέον
and the Brother said since you-said Father that it-being-needful
πάντων τῶν ὁρωμένων, καὶ αὐτοῦ τοῦ σώματος,
than-all the(-things) seen and itself the body
τὴν παντὸς ἀνθρώπου προτιμῆσαι ἀγάπην, πῶς δύναμαι
the of-every man to-prefer love how can-I
τὸν μισοῦντά με καὶ ἀποστρεφόμενον ἀγαπῆσαι; Εἰ δὲ
the(-one) hating me and turning-away love if and
καὶ φθονεῖ μοι, καὶ λοιδορίαις κατατοξεύει, καὶ δόλους
also he-envies me and with-insults shoots-down and deceits
κατασκευάζει, καὶ ἐπιβουλεύειν ἐπιχειρεῖ, πῶς δύναμαι αὐτὸν
contrives and to-plot attempts how can-I him
ἀγαπῆσαι; Φύσει μοι, Πάτερ, φαίνεται τοῦτο ἀδύνατον, τοῦ
love by-nature to-me Father seems this impossible the
πάθους τῆς λύπης φυσικῶς τὸν λυπήσαντα ἀποστρέφεσθαι
passion of-the grief naturally the(-one) having-grieved to-turn-from
ἀναγκάζοντος. Καὶ ἀπεκρίθη ὁ γέρων· Ἐπὶ μὲν τῶν
compelling and answered the old-man in-the-case-of indeed of-the
ἑρπετῶν καὶ τῶν θηρίων τῶν ὑπὸ φύσεως ἀγομένων, τῷ
reptiles and the beasts of-the by nature led in-the
ὄντι ἀδύνατον μὴ πάντως ἀμύνασθαι ὅσον δύναται
reality impossible(-it-is) not surely to-defend-themselves as-much-as can
τὸ καταπονοῦν· ἐπὶ δὲ τῶν κατ' εἰκόνα
the(-one) oppressing in-the-case-of and the(-ones) according-to image
Θεοῦ κτισθέντων, καὶ λόγῳ ἀγομένων· καὶ γνώσεως Θεοῦ
of-God created and by-reason led and of-knowledge of-God
καταξιωθέντων, καὶ νόμον παρ' αὐτοῦ δεξαμένων, δυνατὸν
deemed-worthy and law from him having-received possible(-it-is)
τοὺς λυποῦντας μὴ ἀποστρέφεσθαι, καὶ τοὺς μισοῦντας
the(-ones) grieving not to-turn-from and the(-ones) hating
ἀγαπᾷν. Διὸ καὶ ὁ Κύριος, Ἀγαπᾶτε, λέγων, τοὺς
to-love wherefore also the Lord love saying the

ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε, τοῖς μισοῦσιν ὑμᾶς, καὶ
enemies of-you well do to-the(-ones) hating you and
τὰ ἑξῆς, οὐχ ὡς ἀδύνατα ἐντέλλεται, ἀλλ' ὡς
the(-things) following not as impossible(-things) commands but as
δυνατὰ δηλονότι· ἐπεὶ οὐκ ἂν ἐκόλασε τὸν
possible(-things) evidently since not — he-would-have-punished the(-one)
παραβαίνοντα. Δηλοῖ δὲ αὐτὸς ὁ Κύριος, αὐτοῖς τοῖς
transgressing shows and himself the Lord by-the-very the
ἔργοις ἡμῖν δείξας· καὶ οἱ μαθηταὶ αὐτοῦ πάντες ὑπὲρ
works to-us having-shown and the disciples of-him all for
τῆς εἰς τὸν πλησίον ἀγάπης μέχρι θανάτου ἀγωνισάμενοι,
the toward the neighbor love until death having-striven
καὶ ὑπὲρ τῶν ἀποκτεινάντων θερμῶς προσευξάμενοι.
and for the(-ones) having-killed(-them) warmly having-prayed
Ἀλλ' ἐπειδὴ ἡμεῖς ἐσμὲν φιλόϋλοι καὶ φιλήδονοι, καὶ
but since we are matter-loving and pleasure-loving and
ταῦτα τῆς ἐντολῆς μᾶλλον προτιμῶντες, διὰ τοῦτο
these(-things) than-the commandment rather preferring because-of this
τοὺς μισοῦντας ἀγαπῆσαι οὐ δυνάμεθα· ἀλλὰ καὶ τοὺς
the(-ones) hating love not we-can but even the(-ones)
ἀγαπῶντας διὰ ταῦτα πολλάκις ἀποστρεφόμεθα,
loving because-of these(-things) often we-turn-from
θηρίων καὶ ἑρπετῶν χεῖρον διακείμενοι· καὶ διὰ τοῦτο
than-beasts and reptiles worse disposed and because-of this
τοῖς ἴχνεσι τοῦ Θεοῦ ἀκολουθῆσαι μὴ δυνάμενοι, οὐδὲ τὸν
the tracks — of-God to-follow not being-able neither the
σκοπὸν αὐτοῦ γνῶναι δυνάμεθα, ἵνα λάβωμεν δύναμιν.
aim of-him know we-can so-that we-may-receive power
Καὶ ὁ Ἀδελφὸς εἶπεν· Ἰδοὺ, Πάτερ, κατέλιπον πάντα, 9
and the Brother said behold Father I-have-left all(-things)
συγγένειαν, ὕπαρξιν, τρυφὴν, καὶ τὴν δόξαν τοῦ κόσμου,
kindred substance luxury and the glory of-the world

καὶ οὐδὲν κέκτημαι ἐν τῷ βίῳ πλὴν τοῦ σώματος· καὶ
and nothing I-possess in the life except the body and
τὸν ἀδελφὸν μισοῦντά με καὶ ἀποστρεφόμενον ἀγαπῆσαι
the brother hating me and turning-away love
οὐ δύναμαι· εἰ καὶ βιάζομαι κακὸν ἀντὶ κακοῦ κατ᾽
not I-can if even I-force(-myself) evil for evil in
ἐνέργειαν μὴ ἀνταποδοῦναι. Εἶπε οὖν τί ὀφείλω ποιῆσαι,
act not to-repay tell then what ought-I to-do
ἵνα δυνηθῶ αὐτὸν ἐκ καρδίας ἀγαπῆσαι, ἢ καὶ τὸν
so-that I-may-be-able him from heart to-love or also the(-one)
καθοιονδήποτε τρόπον θλίβοντα καὶ ἐπιβουλεύοντα.
in-whatever way afflicting and plotting
Καὶ ἀπεκρίθη ὁ γέρων· Ἀδύνατόν τινα ἀγαπῆσαι τὸν
and answered the old-man impossible(-it-is) anyone to-love the(-one)
θλίβοντα, κἂν τῇ ὕλῃ τοῦ κόσμου ἔδοξεν ἀποτάξασθαι,
afflicting even-if to-the matter of-the world he-seemed to-have-renounced
ἐὰν μὴ τὸν σκοπὸν τοῦ Κυρίου ἐν ἀληθείᾳ γινώσκῃ·
unless — the aim of-the Lord in truth he-know
ἐὰν δὲ τοῦ Κυρίου αὐτῷ χαριζομένου δυνηθῇ γνῶναι, καὶ
if and the Lord to-him granting(-it) he-be-able to-know(-it) and
σπεύδῃ κατ᾽ αὐτὸν περιπατεῖν, δύναται ἐκ καρδίας
hasten according-to him to-walk he-can from heart
ἀγαπῆσαι τὸν μισοῦντα καὶ θλίβοντα, ὥσπερ καὶ οἱ
love the(-one) hating and afflicting as also the
ἀπόστολοι ἐγνωκότες ἠγάπων.
apostles having-known(-it) loved
10 Καὶ εἶπεν ὁ Ἀδελφός· Καὶ τίς ὁ σκοπὸς τοῦ Κυρίου ἦν,
and said the Brother and what the aim of-the Lord was
παρακαλῶ γνῶναι, Πάτερ. Καὶ εἶπεν ὁ γέρων· Ἐὰν τὸν
I-beseech(-you) to-know(-it) Father and said the old-man if the
σκοπὸν τοῦ Κυρίου γνῶναι θέλῃς, συνετῶς ἄκουσον. Ὁ οὖν
aim of-the Lord to-know you-wish intelligently hear the then

Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, φύσει Θεὸς ὢν, καὶ ἄνθρωπος
Lord of-us Jesus Christ by-nature God being and man
διὰ φιλανθρωπίαν γενέσθαι καταξιώσας, ἐκ γυναικὸς
because-of love-for-man to-become having-deigned from woman
τεχθεὶς, ὑπὸ νόμον ἐγένετο, κατὰ τὸν θεῖον Ἀπόστολον·
born under law became according-to the divine Apostle
ἵνα ὡς ἄνθρωπος τὴν ἐντολὴν φυλάξας, τὴν ἀρχαίαν τοῦ
so-that as man the commandment having-kept the ancient —
Ἀδὰμ ἀνατρέψῃ κατάραν. Εἰδὼς οὖν ὁ Κύριος, ὅτι ὅλος
of-Adam be-might-overturn curse knowing then the Lord that whole
ὁ νόμος καὶ οἱ προφῆται ἐν ταῖς δυσὶ τοῦ νόμου κρέμανται
the law and the prophets in the two of-the law hang
ἐντολαῖς, ἐν τῷ, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης
commandments in the you-will-love (the)-Lord the God of-you from whole
τῆς καρδίας σου, καὶ τὸν πλησίον ὡς ἑαυτόν· ταῦτα ἀπ᾽
the heart of-you and the neighbor as yourself these(-things) from
ἀρχῆς καὶ μέχρι τέλους φυλάξαι ἀνθρωποπρεπῶς ἔσπευσεν.
beginning and until end to-keep in-human-fashion he-hastened
Ὁ δὲ ἀπ᾽ ἀρχῆς ἀπατήσας τὸν ἄνθρωπον, καὶ διὰ τοῦτο
the and from beginning having-deceived the man and because-of this
κράτος ἐσχηκὼς τοῦ θανάτου, διάβολος, ἰδὼν αὐτὸν
power having-had of-the death devil having-seen him
ἐπὶ τοῦ βαπτίσματος ὑπὸ τοῦ Πατρὸς μαρτυρούμενον, καὶ
at the baptism by the Father being-witnessed and
τὸ συγγενὲς ἅγιον Πνεῦμα ὡς ἄνθρωπον ἀπ᾽ οὐρανῶν
the kindred holy Spirit as man from heavens
δεχόμενον, καὶ εἰς τὴν ἔρημον πρὸς τὸ πειρασθῆναι ὑπ᾽
receiving and into the desert for the to-be-tempted by
αὐτοῦ ἐληλυθότα· ὅλον αὐτοῦ τὸν πόλεμον κατ᾽ αὐτοῦ
him having-come whole of-him the war against him
συνεκρότει, εἴ πως δυνηθῇ καὶ αὐτὸν ποιῆσαι τὴν τοῦ
he-marshaled if somehow he-might-be-able also him to-make the of-the

κόσμου προτιμῆσαι ὕλην τῆς εἰς Θεὸν ἀγάπης. Εἰδὼς
world to-prefer matter than-the toward God love knowing
οὖν ὁ διάβολος ὅτι τὰ τρία ταῦτά εἰσιν, ἐν οἷς πάντα
then the devil that the three these are in which all
δονεῖται τὰ ἀνθρώπινα, βρώματα, λέγω, καὶ χρήματα,
are-shaken the human(-things) foods I-mean and money
καὶ δόξα, δι' ὧν καὶ εἰς τὸ βάραθρον τῆς ἀπωλείας
and glory through which also into the pit of-the perdition
ἀεὶ κατήγαγε τὸν ἄνθρωπον· εἰς ταῦτα τὰ τρία αὐτὸν
always he-brought-down the man in these the three him
ἐν τῇ ἐρήμῳ ἐπείρασεν, ὧν ὁ Κύριος ἡμῶν κρείττων
in the desert he-tempted than-which the Lord of-us stronger
φανεὶς, εἰς τοὐπίσω χωρεῖν τῷ διαβόλῳ προσέταττε.
having-appeared to the-back to-go to-the devil he-commanded

11 Τοῦτο οὖν τὸ γνώρισμα τῆς εἰς Θεὸν ἀγάπης, ἧς τὴν
this then the token of-the toward God love of-which the
ἐντολὴν δι' ὧν ἐπήγγελτο πεῖσαι αὐτὸν παραβῆναι
commandment through what-things he-had-promised to-persuade him to-transgress
μὴ δυνηθεὶς, τῆς εἰς τὸν πλησίον λοιπὸν ἀγάπης
not having-been-able the toward the neighbor henceforth love
τὴν ἐντολὴν, εἰς τὴν οἰκουμένην ἐλθόντα, διὰ τῶν
the commandment into the inhabited-world him-having-come through the
παρανόμων Ἰουδαίων ἐνεργῶν, παραβαίνειν αὐτὸν δι'
lawless Jews working to-transgress him through
ὧν ἐμηχανᾶτο ἠγωνίζετο. Τούτου χάριν διδάσκοντα
what-things he-contrived he-strove of-this for-the-sake teaching
αὐτὸν τὰς ὁδοὺς τῆς ζωῆς, καὶ ἔργῳ ὑποδεικνύοντα τὴν
him the ways of-the life and by-deed showing the
οὐράνιον πολιτείαν, καὶ ἀνάστασιν νεκρῶν καταγγέλλοντα,
heavenly way-of-life and resurrection of-dead proclaiming
καὶ ζωὴν αἰώνιον καὶ βασιλείαν οὐρανῶν τοῖς
and life eternal and kingdom of-heavens to-the(-ones)

πιστεύουσιν ἐπαγγελλόμενον· τοῖς δὲ ἀπίστοις κόλασιν
believing promising to-the(-ones) and unbelieving punishment
αἰώνιον ἀπειλοῦντα, καὶ πρὸς βεβαίωσιν τῶν λεγομένων
eternal threatening and for confirmation of-the(-things) said
τὰς παραδόξους θεοσημίας ἐπιδεικνύμενον, καὶ εἰς πίστιν
the strange divine-signs displaying and to faith
τοὺς ὄχλους προσκαλούμενον, συνεκίνει τοὺς παρανόμους
the crowds calling he-stirred the lawless
Φαρισαίους καὶ Γραμματεῖς, εἰς τὰς κατ᾽ αὐτοῦ ποικίλας
Pharisees and Scribes to the against him manifold
ἐπιβουλάς· ἵνα τοὺς πειρασμοὺς ὑπενεγκεῖν, ὡς ᾤετο, μὴ
plots so-that the temptations to-bear as he-thought not
δυνάμενος, εἰς μῖσος τῶν ἐπιβουλευόντων παρατραπῇ·
being-able to hatred of-the(-ones) plotting he-might-be-turned
καὶ οὕτως τοῦ σκοποῦ ὁ ἀλάστωρ ἐπιτύχῃ, παραβάτην
and thus of-the aim the avenger might-attain transgressor
τῆς ἐντολῆς τῆς εἰς τὸν πλησίον ἀγάπης ἀποφήνας.
of-the commandment of-the toward the neighbor love having-shown(-him)

X · THE ASCETIC LIFE, 12–22

The Lord hated not the Pharisees but the one working in them, and conquered the devil by suffering at his hands; Paul names the wrestling against principalities and powers. The brother learns to pardon a tempted brother, to gain sobriety by freedom from care, and to give his leisure to God through love, continence, and prayer; love tames the temper, and long-suffering is to reckon oneself the cause of the temptation.

Ὁ δὲ Κύριος, ἅτε Θεὸς, εἰδὼς αὐτοῦ τὰ ἐνθύμια, οὐ τοὺς 12
the and Lord inasmuch-as God knowing of-him the thoughts not the
ὑπ᾽ αὐτοῦ ἐνεργουμένους ἐμίσησε Φαρισαίους (πῶς γὰρ φύσει
by him being-worked hated Pharisees how for by-nature

ἀγαθὸς ὤν;), ἀλλὰ διὰ τῆς εἰς αὐτοὺς ἀγάπης, τὸν
good being but through the toward them love the(-one)
ἐνεργοῦντα ἠμύνετο· καὶ τοὺς μὲν ἐνεργουμένους, ἅτε
working he-repelled and the(-ones) indeed being-worked inasmuch-as
δυναμένους μὴ ἐνεργεῖσθαι· ἑκουσίως δὲ τοῦ ἐνεργοῦντος
being-able not to-be-worked willingly and the(-one) working
διὰ ῥᾳθυμίαν ἀνεχομένους, ἐνουθέτει, ἤλεγχεν, ὠνείδιζεν,
because-of sloth tolerating he-admonished reproved reproached
ἐταλάνιζεν, εὐεργετῶν οὐκ ἐπαύετο, βλασφημούμενος
called-wretched benefiting not he-ceased being-blasphemed
ἐμακροθύμει, πάσχων ὑπέμενε, πάντα τὰ τῆς ἀγάπης ἔργα
he-was-long-suffering suffering he-endured all the of-the love works
εἰς αὐτοὺς ἐνεδείκνυτο· τὸν δὲ ἐνεργοῦντα, τῇ εἰς
toward them he-displayed the(-one) and working by-the toward
τοὺς ἐνεργουμένους φιλανθρωπίᾳ ἠμύνετο· ὦ παραδόξου
the(-ones) being-worked love-for-man he-repelled O strange
πολέμου! ἀντὶ τοῦ μίσους, τὴν ἀγάπην ἐπιδεικνύμενος,
war instead-of the hatred the love displaying
καὶ ἀγαθότητι βάλλων τὸν τῆς κακίας πατέρα. Τούτου
and by-goodness striking the of-the vice father of-this
χάριν τὰ τοσαῦτα κακὰ παρ' αὐτῶν ὑπομείνας, μᾶλλον
for-the-sake the so-many evils from them having-endured rather
δὲ ἀληθέστερον εἰπεῖν, δι' αὐτοὺς, μέχρι θανάτου ὑπὲρ
and more-truly to-say because-of them until death for
τῆς ἐντολῆς τῆς ἀγάπης ἀνθρωποπρεπῶς ἠγωνίσατο·
the commandment of-the love in-human-fashion he-strove
καὶ τὴν τελείαν νίκην κατὰ τοῦ διαβόλου ἀράμενος, τὸν
and the perfect victory against the devil having-won the
στέφανον τῆς ἀναστάσεως ὑπὲρ ἡμῶν ἀνεδήσατο· καὶ
crown of-the resurrection for us he-bound-on and
οὕτως ὁ νέος Ἀδὰμ, τὸν παλαιὸν ἀνενεώσατο. Καὶ τοῦτό
thus the new Adam the old renewed and this

ἐστιν ὃ λέγει ὁ θεῖος Ἀπόστολος· Τοῦτο φρονείσθω ἐν
is what says the divine Apostle this let-be-minded in
ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ καὶ τὰ ἑξῆς.
you which also in Christ Jesus and the(-things) following
Οὗτος οὖν ἦν ὁ σκοπὸς τοῦ Κυρίου, ἵνα τῷ μὲν 13
this then was the aim of-the Lord that to-the indeed
Πατρὶ ὑπακούσῃ μέχρι θανάτου ὡς ἄνθρωπος ὑπὲρ ἡμῶν,
Father he-might-obey until death as man for us
φυλάττων τὴν ἐντολὴν τῆς ἀγάπης· τὸν δὲ διάβολον
keeping the commandment of-the love the and devil
ἀμύνηται τῷ πάσχειν ὑπ᾽ αὐτοῦ, διὰ τῶν ὑπ᾽ αὐτοῦ
he-might-repel by-the to-suffer by him through the by him
ἐνεργουμένων Γραμματέων καὶ Φαρισαίων· καὶ οὕτως
worked Scribes and Pharisees and thus
ἐνίκησε τῷ νικᾶσθαι ἑκουσίως, τὸν νικᾶν ἐλπίσαντα,
he-conquered by-the to-be-conquered willingly the(-one) to-conquer having-hoped
καὶ τὸν κόσμον ἐῤῥύσατο τῆς αὐτοῦ δυναστείας. Τοῦτον
and the world rescued from-the his dominion this
τὸν τρόπον ὁ Χριστὸς ἐξ ἀσθενείας ἐσταυρώθη· δι᾽
the way — Christ from weakness was-crucified through
ἧς ἀσθενείας τὸν θάνατον ἐνέκρωσε, καὶ τὸν τὸ κράτος
which weakness the death he-put-to-death and the(-one) the power
ἔχοντα τοῦ θανάτου κατήργησε. Τοῦτον τὸν τρόπον καὶ ὁ
having of-the death he-abolished this the way also —
Παῦλος ἐν ἑαυτῷ ἠσθένει, καὶ ἐκαυχᾶτο ἐν ταῖς ἀσθενείαις,
Paul in himself was-weak and boasted in the weaknesses
ἵνα ἐπισκηνώσῃ ἐν αὐτῷ ἡ δύναμις τοῦ Χριστοῦ.
so-that might-tabernacle in him the power — of-Christ
Ταύτης τῆς νίκης τὸν τρόπον μαθὼν, ἔλεγεν Ἐφεσίοις 14
of-this the victory the way having-learned he-said to-Ephesians
γράφων· Οὐκ ἔστιν ὑμῖν ἡ πάλη πρὸς αἷμα καὶ
writing not is for-you the wrestling against blood and

σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, καὶ
flesh but against the principalities against the powers and
τὰ ἑξῆς. Τόν τε θώρακα τῆς δικαιοσύνης ἀναλαβεῖν
the(-things) following the both breastplate of-the righteousness to-take-up
φησι, καὶ τὴν περικεφαλαίαν ἐλπίδος, καὶ τὸν θυρεὸν
he-says and the helmet of-hope and the shield
τῆς πίστεως, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ἵνα
of-the faith and the sword of-the spirit so-that
δυνηθῶσι πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα
they-may-be-able all the darts of-the wicked(-one) the fiery
σβέσαι, οἱ πρὸς τοὺς ἀοράτους ἐχθροὺς τὸν πόλεμον
to-quench the(-ones) against the invisible enemies the war
ἔχοντες· ἔργῳ δὲ τὸν τράπον τῆς πάλης ἐπιδεικνύμενος,
having by-deed and the way of-the wrestling showing
ἔλεγεν· Ἐγὼ οὖν οὕτως τρέχω, ὡς οὐκ ἀδήλως· οὕτως
he-said I then thus run as not uncertainly thus
πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων· ἀλλ᾽ ὑποπιάζω μου τὸ
I-box as not air beating but I-bruise of-me the
σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς
body and bring-into-slavery lest-somehow to-others having-preached myself
ἀδόκιμος γένωμαι. Καὶ πάλιν· Ἄχρι τῆς ἄρτι ὥρας καὶ
unapproved I-become and again until the present hour both
πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα.
we-hunger and thirst and are-naked and are-buffeted
Καὶ πάλιν· Ἐν κόπῳ καὶ μόχθῳ· ἐν ἀγρυπνίαις πολλάκις,
and again in labor and toil in watchings often
ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός.
in cold and nakedness apart-from the(-things) without
15 Καὶ ταύτην μὲν τὴν πάλην, πρὸς τοὺς ἡδονὰς ἐν τῇ
and this indeed the wrestling against the pleasures in the
σαρκὶ ἐνεργοῦντας ἐπάλαιε δαίμονας διὰ τῆς ἀσθενείας
flesh working he-wrestled demons through the weakness

τοῦ ἰδίου σώματος αὐτοὺς ἐπελαύνων· πρὸς δὲ τοὺς εἰς
of-the own body them driving-off against and the(-ones) for
μῖσος πολεμοῦντας, καὶ διὰ τοῦτο τοὺς τῶν ἀνθρώπων
hatred warring and because-of this the(-ones) of-the men
ἀμελεστέρους κατὰ τῶν εὐσεβῶν κινοῦντας, ἵνα δι᾽
more-careless against the godly moving so-that through
αὐτῶν πειραζόμενοι, αὐτοὺς μισήσωσι, καὶ τὴν ἐντολὴν τῆς
them being-tempted them they-might-hate and the commandment of-the
ἀγάπης παραβῶσι· πάλιν τὸν τρόπον τῆς νίκης ἔργοις ἡμῖν
love transgress again the way of-the victory by-works to-us
ὑποδεικνύων, ἔλεγεν· Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι,
showing he-said being-reviled we-bless being-persecuted
ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡσπερεὶ
we-endure being-blasphemed we-entreat as-it-were
καθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως
refuse of-the world we-became of-all offscouring until
ἄρτι. Οἱ μὲν γὰρ δαίμονες, διὰ τοῦτο λοιδορεῖν καὶ
now the indeed for demons because-of this to-revile and
βλασφημεῖν καὶ διώκειν ὑπέβαλλον, ἵνα εἰς μῖσος τοῦ
to-blaspheme and to-persecute suggested so-that to hatred of-the(-one)
λοιδοροῦντος καὶ βλασφημοῦντος καὶ διώκοντος αὐτὸν
reviling and blaspheming and persecuting him
κινήσωσι· τὸν σκοπὸν εἰς τὴν παράβασιν τῆς ἐντολῆς τῆς
they-might-move the aim to the transgression of-the commandment of-the
ἀγάπης ἔχοντες. Ὁ δὲ Ἀπόστολος μὴ ἀγνοῶν τὰ νοήματα
love having the and Apostle not ignorant-of the designs
αὐτῶν, τοὺς λοιδοροῦντας ηὐλόγει, καὶ τῶν διωκόντων
of-them the(-ones) reviling blessed and the(-ones) persecuting
ἠνείχετο. καὶ τοὺς βλασφημοῦντας παρεκάλει, τῶν μὲν
endured and the(-ones) blaspheming entreated the indeed
ταῦτα ἐνεργούντων ἀποστῆναι δαιμόνων, τῷ δὲ ἀγαθῷ
these(-things) working to-stand-away-from demons to-the and good

οἰκειωθῆναι Θεῷ· τοὺς δὲ ταῦτα ἐνεργοῦντας δαίμονας,
to-be-made-kin God the and these(-things) working demons
τούτῳ τῷ τρόπῳ τῆς πάλης ἠμύνετο, ἐν τῷ ἀγαθῷ ἀεὶ
by-this the way of-the wrestling he-repelled in the good always
νικῶν τὸ κακὸν, κατὰ τὴν μίμησιν τοῦ Σωτῆρος, καὶ
conquering the evil according-to the imitation of-the Savior and
οὕτως ὅλον τὸν κόσμον τῶν δαιμόνων ἀποστήσαντες τῷ
thus whole the world from-the demons having-detached —
Θεῷ ᾠκείωσαν, αὐτός τε καὶ οἱ λοιποὶ ἀπόστολοι, διὰ
to-God they-made-kin he both and the rest apostles through
ἥττης νικήσαντες τοὺς νικᾶν ἐλπίσαντας. Ἐὰν οὖν καὶ
defeat having-conquered the(-ones) to-conquer having-hoped if then also
σὺ, Ἀδελφὲ, τοῦτον κρατήσῃς τὸν σκοπὸν, δύνασαι καὶ σὺ
you Brother this you-hold the aim you-can also you
τοὺς μισοῦντας ἀγαπᾶν· εἰ δὲ μή γε, ἄλλως ἀμήχανον.
the(-ones) hating love if and not at-least otherwise impossible(-it-is)
16 Καὶ ὁ ἀδελφὸς εἶπεν· Ἐπ' ἀληθείας, Πάτερ, οὕτως ἐστὶ καὶ
and the brother said in truth Father thus it-is and
οὐκ ἄλλως· καὶ διὰ τοῦτο ὁ Κύριος βλασφημούμενος
not otherwise and because-of this the Lord being-blasphemed
καὶ κολαφιζόμενος, καὶ τὰ ἄλλα πάσχων, ἅπερ ἔπαθεν
and being-buffeted and the other(-things) suffering which-very he-suffered
ὑπὸ τῶν Ἰουδαίων, ἠνείχετο, ἐκείνοις μὲν συμπάσχων ὡς
by the Jews endured with-them indeed suffering-with as
ἀγνοοῦσι καὶ πεπλανημένοις· διὸ καὶ ἔλεγεν ἐπὶ τοῦ
being-ignorant and led-astray wherefore also he-said on the
σταυροῦ· Πάτερ, ἄφες αὐτοῖς, ὅτι οὐκ οἴδασι τί ποιοῦσι·
cross Father forgive them because not they-know what they-do
τοῦ δὲ διαβόλου καὶ τῶν ἀρχόντων αὐτοῦ θριαμβεύων τὴν
of-the and devil and of-the rulers of-him triumphing-over the
πανουργίαν καὶ τὴν ἀπάτην ἐπὶ τοῦ σταυροῦ· ὑπὲρ τῆς
villainy and the deceit on the cross for the

ἐντολῆς τῆς ἀγάπης, καθὼς εἶπας, μέχρι θανάτου πρὸς
commandment of-the love as you-said until death against
αὐτοὺς ἀγωνισάμενος, καὶ τὴν κατ᾽ αὐτῶν νίκην ἡμῖν
them having-striven and the against them victory to-us
χαρισάμενος· καὶ τοῦ θανάτου καταλύσας τὸ κράτος, τὴν
having-granted and of-the death having-destroyed the power the
ἀνάστασιν αὐτοῦ εἰς ζωὴν παντὶ τῷ κόσμῳ ἐδωρήσατο. Ἀλλ᾽
resurrection of-him for life to-all the world he-gave but
εὔχου ὑπὲρ ἐμοῦ, Πάτερ, ἵνα τελείως ἐξισχύσω γνῶναι τὸν
pray for me Father that perfectly I-may-be-strong to-know the
σκοπὸν τοῦ Κυρίου, καὶ τῶν ἀποστόλων αὐτοῦ· καὶ δυνηθῶ
aim of-the Lord and of-the apostles of-him and I-may-be-able
νήφειν ἐν τοῖς καιροῖς τῶν πειρασμῶν, καὶ μὴ ἀγνοεῖν
to-be-sober in the times of-the temptations and not to-be-ignorant-of
τὰ νοήματα τοῦ διαβόλου καὶ τῶν δαιμόνων αὐτοῦ.
the designs of-the devil and of-the demons of-him
Καὶ ὁ γέρων ἀποκριθεὶς, εἶπεν· Ἐὰν τῶν προειρημένων 17
and the old-man having-answered said if of-the(-things) said-before
ἔχεις ἀεὶ τὴν μελέτην, δύνασαι μὴ ἀγνοεῖν. Ἀλλὰ καὶ ἐὰν
you-have always the meditation you-can not be-ignorant but also if
συνιῇς, ὅτι ὥσπερ σὺ πειράζῃ, οὕτως καὶ ὁ ἀδελφός
you-understand that as you are-tempted thus also the brother
σου πειράζεται· καὶ τῷ μὲν πειραζομένῳ συγγινώσκεις,
of-you is-tempted and the(-one) indeed being-tempted you-pardon
τῷ δὲ πειράζοντι θέλοντί σε εἰς μῖσος ἀγαγεῖν τοῦ
the(-one) and tempting wishing you into hatred to-lead of-the(-one)
πειραζομένου ἀντιστῇς, μὴ ὑπακούων αὐτοῦ τῷ μηχανήματι.
being-tempted you-withstand not obeying his the device
Καὶ τοῦτό ἐστιν ὃ λέγει ὁ ἀδελφόθεος Ἰάκωβος ἐν
and this is what says the God's-brother James in
ταῖς Καθολικαῖς· Ὑποτάγητε τῷ Θεῷ· ἀντίστητε δὲ τῷ
the Catholic(-Epistles) submit-yourselves — to-God withstand and the

διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν. Ἐὰν οὖν, ὡς εἴρηται,
devil and he-will-flee from you if then as has-been-said
ἔχεις νηφόντως τὴν τῶν προειρημένων ἀδιαλείπτως
you-have soberly the of-the(-things) said-before unceasingly
μελέτην, δύνασαι γνῶναι τὸν σκοπὸν τοῦ Κυρίου, καὶ τῶν
meditation you-can know the aim of-the Lord and of-the
ἀποστόλων αὐτοῦ· καὶ τοὺς μὲν ἀνθρώπους ἀγαπᾷν, καὶ
apostles of-him and the indeed men love and
συμπάσχειν αὐτοῖς πταίουσι· τοῖς δὲ πονηροῖς δαίμοσιν
suffer-with them stumbling the and wicked demons
ἀδιαλείπτως διὰ τῆς ἀγάπης πολεμεῖν. Εἰ δὲ ἐσμὲν χαῦνοι
unceasingly through the love fight if and we-are slack
καὶ ἀμελεῖς καὶ ῥάθυμοι, καὶ ταῖς σαρκικαῖς ἡδοναῖς τὸν
and careless and lazy and with-the fleshly pleasures the
λογισμὸν ἐμφύρομεν, οὐχὶ τοὺς δαίμονας, ἀλλ' ἑαυτοὺς καὶ
thought we-defile not the demons but ourselves and
τοὺς ἀδελφοὺς πολεμοῦμεν· τοὺς δὲ δαίμονας μᾶλλον δι'
the brothers we-fight the and demons rather through
αὐτῶν θεραπεύομεν, ὑπὲρ αὐτῶν τοῖς ἀνθρώποις μαχόμενοι.
them we-serve for them with-the men fighting

18 Καὶ ὁ ἀδελφὸς εἶπεν· Οὕτως ἔχει, Πάτερ· καὶ γὰρ ἐκ
and the brother said thus it-is Father and for from
τῆς ἀμελείας μου ἀεὶ λαμβάνουσιν ἀφορμὰς κατ' ἐμοῦ
the negligence of-me always take occasions against me
οἱ δαίμονες· ἀλλὰ παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι, πῶς
the demons but I-beseech you Father to-tell me how
ὀφείλω κτήσασθαι νῆψιν. Καὶ ἀπεκρίθη ὁ γέρων· Ἡ
I-ought to-acquire sobriety and answered the old-man the
παντελὴς τῶν γηΐνων ἀμεριμνία, καὶ ἡ συνεχὴς μελέτη
complete of-the earthly(-things) freedom-from-care and the continual meditation
τῆς θείας Γραφῆς φέρει τὴν ψυχὴν εἰς φόβον Θεοῦ· καὶ ὁ
of-the divine Scripture brings the soul to fear of-God and the

τοῦ Θεοῦ φόβος φέρει τὴν νῆψιν· καὶ τότε ἡ ψυχὴ ἄρχεται
— of-God fear brings the sobriety and then the soul begins
βλέπειν τοὺς διὰ τῶν λογισμῶν πολεμοῦντας αὐτὴν
to-see the through the thoughts warring-against her
δαίμονας, καὶ ἀμύνασθαι· περὶ ὧν ὁ Δαβὶδ ἔλεγεν· Καὶ
demons and to-repel(-them) about whom — David said and
ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου. Πρὸς ταύτην
looked the eye of-me on the enemies of-me against this
τὴν πάλην καὶ ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος
the wrestling also the chief of-the apostles Peter
διεγείρων τοὺς μαθητὰς, ἔλεγε· Νήψατε, γρηγορήσατε, ὅτι
rousing the disciples said be-sober watch because
ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ,
the adversary of-you devil as lion roaring walks-about
ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει·
seeking whom he-may-devour whom withstand firm in-the faith
καὶ ὁ Κύριος δέ· Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ
and the Lord and watch and pray so-that not
εἰσέλθητε εἰς πειρασμόν. Ὁ δὲ Ἐκκλησιαστὴς φησιν· Ἐὰν
you-enter into temptation the and Ecclesiastes says if
πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ
spirit of-the(-one) ruling go-up upon you place of-you not
ἀφῇς. Τόπος δὲ τοῦ νοῦ ἐστιν ἡ ἀρετὴ, καὶ ἡ γνῶσις,
leave place and of-the mind is the virtue and the knowledge
καὶ ὁ φόβος τοῦ Θεοῦ. Ὁ δὲ θαυμαστὸς Ἀπόστολος
and the fear — of-God the and wonderful Apostle
σφόδρα νηφόντως καὶ γενναίως ἀγωνιζόμενος ἔλεγεν· Ἐν
very soberly and nobly striving said in
σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα.
flesh for walking not according-to flesh we-war
Τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ
the for weapons of-the warfare of-us not fleshly but

δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων· λογισμοὺς
mighty — to-God for overthrowing of-strongholds thoughts
καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς
overthrowing and every height lifted-up against the
γνώσεως τοῦ Θεοῦ· καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς
knowledge — of-God and taking-captive every thought into
τὴν ὑπακοὴν τοῦ Χριστοῦ· καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι
the obedience — of-Christ and in readiness having to-avenge
πᾶσαν παρακοήν. Ἐὰν οὖν καὶ σὺ μιμήσῃ τοὺς ἁγίους,
every disobedience if then also you imitate the saints
καὶ ἐμπόνως σχολάσῃς τῷ Θεῷ, ἔσῃ νηφόμενος.
and laboriously give-leisure — to-God you-will-be being-sober

19 Καὶ ὁ Ἀδελφὸς εἶπε· Καὶ τί ὤφειλέ τις ποιεῖν, Πάτερ, ἵνα
and the Brother said and what ought one to-do Father so-that
ἀδιαλείπτως δυνηθῇ σχολάζειν τῷ Θεῷ; Καὶ ἀπεκρίθη ὁ
unceasingly he-may-be-able to-give-leisure — to-God and answered the
γέρων· Ἀδύνατον τὸ νοῦν τελείως σχολάσαι τῷ Θεῷ, ἐὰν
old-man impossible(-it-is) the mind perfectly to-give-leisure — to-God unless
μὴ τὰς τρεῖς ταύτας κτήσηται ἀρετάς· τὴν ἀγάπην λέγω,
— the three these it-acquire virtues the love I-mean
καὶ τὴν ἐγκράτειαν καὶ τὴν προσευχήν. Ἡ μὲν γὰρ ἀγάπη,
and the continence and the prayer the indeed for love
ἡμεροῖ τὸν θυμόν· ἡ δὲ ἐγκράτεια, μαραίνει τὴν ἐπιθυμίαν·
tames the temper the and continence withers the desire
ἡ δὲ προσευχὴ, χωρίζει τὸν νοῦν πάντων τῶν νοημάτων,
the and prayer separates the mind from-all the thoughts
καὶ αὐτῷ αὐτὸν παρίστησι γυμνὸν τῷ Θεῷ. Αὗται οὖν
and to-him it presents naked — to-God these then
αἱ τρεῖς ἀρεταὶ, συμπεριληπτικαί εἰσι πασῶν τῶν ἀρετῶν·
the three virtues comprehensive are of-all the virtues
καὶ ἄνευ τούτων ὁ νοῦς οὐ δύναται σχολάζειν τῷ Θεῷ.
and without these the mind not can give-leisure — to-God

Καὶ ὁ Ἀδελφὸς εἶπε· Παρακαλῶ σε, Πάτερ, μαθεῖν, πῶς 20
and the Brother said I-beseech you Father to-learn how
ἡ ἀγάπη ἡμεροῖ τὸν θυμόν. Καὶ ἀπεκρίθη ὁ γέρων·
the love tames the temper and answered the old-man
Ἐπειδὴ ἔχει τὸ ἐλεεῖν, καὶ τὸ εὐεργετεῖν τὸν πλησίον· καὶ
since it-has the to-pity and the to-benefit the neighbor and
τὸ μακροθυμεῖν ἐπ᾽ αὐτὸν, καὶ τὸ ὑπομένειν τὰ ὑπ᾽
the to-be-long-suffering toward him and the to-endure the(-things) by
αὐτοῦ ἐπαγόμενα, ὡς πολλάκις εἰρήκαμεν. Ταῦτα οὖν
him brought-on as often we-have-said these(-things) then
ἔχουσα ἡ ἀγάπη, ἡμεροῖ τὸν θυμὸν τοῦ κεκτημένου
having the love tames the temper of-the(-one) having-acquired
αὐτήν. Καὶ ὁ Ἀδελφὸς εἶπε· Οὐ μικρὰ τὰ ἔργα αὐτῆς·
it and the Brother said not small the works of-it
ἀλλὰ μακάριος ὁ δυνάμενος κτήσασθαι αὐτήν. Ἐγὼ
but blessed(-is) the(-one) being-able to-acquire it I
δὲ ὄντως μακράν εἰμι ἀπ᾽ αὐτῆς. Πλὴν Παρακαλῶ σε,
and the not appearing immortal thus also the holy Scripture
τὸ μὲν φαινόμενον γράμμα, παρερχόμενον ἔχουσα· τὸ δὲ
the indeed appearing letter passing-away having the and
κρυπτόμενον τῷ γράμματι πνεῦμα, μηδέποτε τοῦ εἶναι
hidden in-the letter spirit never from-the to-be
παυόμενον, ἀληθῆ τὸν λόγον τῆς θεωρίας συνίστησι. Καὶ
ceasing true the principle of-the contemplation establishes and
ὥσπερ οὗτος ὁ καθ᾽ ἡμᾶς ἄνθρωπος, φιλοσοφίᾳ κρατῶν
just-as this the according-to us man by-philosophy mastering
τῆς ἐμπαθοῦς ὀρέξεώς τε καὶ ὁρμῆς, μαραίνει τὴν σάρκα·
the passionate appetite both and impulse withers the flesh
οὕτω καὶ ἡ ἁγία Γραφὴ νοουμένη πνευματικῶς, τὸ
thus also the holy Scripture being-understood spiritually the
γράμμα ἑαυτῆς περιτέμνει. Φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος,
letter of-itself circumcises says for the divine Apostle
Ὅσον ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, τοσοῦτον
as-much-as the outer of-us man is-corrupted so-much
ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. Τοῦτο νοείσθω
the inner is-renewed day and day this let-be-understood
καὶ λεγέσθω καὶ ἐπὶ τῆς ἁγίας Γραφῆς, ἀνθρώπου
and let-be-said also in-the-case-of the holy Scripture as-man
τροπικῶς νοουμένης. Ὅσον γὰρ αὐτῆς τὸ γράμμα
figuratively being-understood as-much-as for of-it the letter
ὑποχωρεῖ, τοσοῦτον τὸ πνεῦμα πλεονεκτεῖ· καὶ ὅσον αἱ
withdraws so-much the spirit gains and as-much-as the

σκιαὶ τῆς προσκαίρου λατρείας παρατρέχουσι, τοσοῦτον
shadows of-the temporary worship run-past so-much
ἡ ἀλήθεια τῆς πίστεως ἡ παμφαής τε καὶ ὁλολαμπὴς
the truth of-the faith the all-bright both and wholly-shining
καὶ ἄσκιος ἐπεισέρχεται· καθ' ἣν καὶ δι' ἣν
and shadowless enters according-to which and because-of which
προηγουμένως καὶ ἔστι καὶ γέγραπται, καὶ Γραφὴ λέγεται,
primarily both it-is and has-been-written and Scripture is-called
τῷ νῷ διὰ χάριτος πνευματικῆς ἐγχαραττομένη· ὥσπερ
on-the mind through grace spiritual being-engraved just-as
καὶ ὁ καθ' ἡμᾶς ἄνθρωπος, διὰ τὴν ψυχὴν τὴν
also the according-to us man because-of the soul the
λογικήν τε καὶ νοερὰν, προηγουμένως ἄνθρωπος μάλιστα
rational both and intellectual primarily man most-of-all
καὶ ἔστι καὶ λέγεται· καθ' ἣν καὶ δι' ἣν εἰκών
both is and is-called according-to which and because-of which image
τε καὶ ὁμοίωσίς ἐστι Θεοῦ, τοῦ ποιήσαντος αὐτόν· καὶ
both and likeness is of-God the having-made him and
τῶν λοιπῶν ζώων φυσικῶς ἀποδιώρισται, μηδεμίαν
from-the remaining living-things naturally is-separated no
πρὸς αὐτὰ σχετικῆς δυνάμεως τὴν οἱανοῦν ἔμφασιν ἔχων.
toward them of-relational power the whatever reflection having

7 Πῶς ὁ κόσμος ἄνθρωπος λέγεται· καὶ ποίῳ τρόπῳ καὶ
how the world man is-called and in-what way also
ὁ ἄνθρωπος, κόσμος.
the man world

Κατὰ ταύτην δὲ πάλιν εὐμιμήτως τὴν εἰκόνα, καὶ
according-to this and again in-fitting-imitation the image also
τὸν κόσμον ὅλον τὸν ἐξ ὁρατῶν καὶ ἀοράτων
the world whole the from visible(-things) and invisible(-things)
συνιστάμενον ἄνθρωπον ὑπέβαλλεν εἶναι· καὶ κόσμον
composed man he-suggested to-be and world

αὖθις, τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον· ψυχῆς
again the from soul and body man of-soul
γὰρ λόγον ἐπέχειν ἔλεγε, τὰ νοητά· ὥσπερ καὶ ἡ
for rank to-hold he-said the intelligible(-things) just-as also the
ψυχὴ, τῶν νοητῶν· καὶ σώματος τύπον ἐπέχειν τὰ
soul of-the intelligible(-things) and of-body type to-hold the
αἰσθητά· ὥσπερ καὶ τῶν αἰσθητῶν τὸ σῶμα. Καὶ ψυχὴν
sensible(-things) just-as also of-the sensible(-things) the body and soul
μὲν εἶναι τῶν αἰσθητῶν, τὰ νοητὰ, σῶμα δὲ τῶν
indeed to-be of-the sensible(-things) the intelligible(-things) body and of-the
νοητῶν, τὰ αἰσθητά. Καὶ ὡς ψυχὴν ἐνοῦσαν σώματι,
intelligible(-things) the sensible(-things) and as soul being-in body
τῷ αἰσθητῷ κόσμῳ τὸν νοητὸν εἶναι· καὶ τῷ νοητῷ
to-the sensible world the intelligible to-be and to-the intelligible
τὸν αἰσθητὸν, ὡς σῶμα τῇ ψυχῇ συγκροτούμενον· καὶ
the sensible as body to-the soul being-knit-together and
ἕνα ἐξ ἀμφοῖν εἶναι κόσμον, ὥσπερ καὶ ἐκ ψυχῆς καὶ
one from both to-be world just-as also from soul and
σώματος ἄνθρωπον ἕνα, μηδ' ἑτέρου τούτων, τῶν
body man one nor either of-these of-the(-things)
ἀλλήλοις καθ' ἕνωσιν συμπεφυκότων, θάτερον ἀρνουμένου
to-one-another by union having-grown-together the-other denying
καὶ ἀποπέμποντος, διὰ τὸν τοῦ συνδήσαντος
and dismissing because-of the of-the(-one) having-bound-together
νόμον· καθ' ὃν τῆς ἑνοποιοῦ δυνάμεως ὁ λόγος
law according-to which of-the unifying power the principle
ἐνέσπαρται, μὴ συγχωρῶν τὴν καθ' ὑπόστασιν ἐπὶ τῇ
is-sown not allowing the according-to hypostasis upon the
ἑνώσει ταυτότητα τούτων ἀγνοηθῆναι, διὰ τὴν φυσικὴν
union identity of-these to-be-ignored because-of the natural
ἑτερότητα· μηδ' εἶναι δυνατωτέραν πρὸς διάστασίν τε
otherness nor to-be more-powerful toward separation both

καὶ μερισμὸν τὴν ἑκάστου τούτων ἑαυτῷ περιγράφουσαν
and division the of-each of-these to-itself circumscribing
ἰδιότητα, τῆς μυστικῶς καθ' ἕνωσιν αὐτοῖς ἐγτεθείσης
property than-the mystically by union in-them having-been-placed
φιλικῆς συγγενείας, ἀποφανθῆναι· καθ' ἣν, ὁ καθ'
friendly kinship to-be-shown according-to which the —
ὅλου καὶ εἷς τρόπος τῆς ἐν ὅλοις ἀφανοῦς καὶ ἀγνώστου
universal and one way of-the in wholes hidden and unknown
παρουσίας τῆς τῶν ὄντων συνεκτικῆς αἰτίας ποικίλως
presence of-the of-the(-things) being holding-together cause variously
πᾶσιν ἐνυπάρχων, καὶ καθ' ἑαυτὰ καὶ ἐν ἀλλήλοις τὰ ὅλα
in-all existing and by themselves and in one-another the wholes
συνίστησιν ἄφυρτα καὶ ἀδιαίρετα· καὶ ἀλλήλων μᾶλλον,
composes unconfused and undivided and of-one-another rather
ἢ ἑαυτῶν κατὰ τὴν ἑνοποιὸν σχέσιν, ὄντα, παρίστησι·
than of-themselves according-to the unifying relation being presents
μέχρις οὗ λῦσαι παραστῇ τῷ συνδήσαντι, μείζονος
until — to-loose it-please to-the(-one) having-bound-together of-greater
ἕνεκα καὶ μυστικωτέρας οἰκονομίας, κατὰ τὸν καιρὸν
for-the-sake and more-mystical dispensation according-to the time
τῆς ἐλπιζομένης καθολικῆς συντελείας· καθ' ἣν καὶ
of-the hoped-for universal consummation according-to which also
ὁ κόσμος, ὡς ἄνθρωπος, τῶν φαινομένων τεθνήξεται,
the world as man of-the appearing(-things) will-die
καὶ πάλιν ἀναστήσεται νέος ἐκ γεγηρακότος, κατὰ
and again will-rise new from having-grown-old according-to
τὴν παραυτίκα, προσδοκωμένην ἀνάστασιν· ἡνίκα καὶ ὁ
the soon expected resurrection when also the
καθ' ἡμᾶς ἄνθρωπος, ὡς μέρος τῷ ὅλῳ, καὶ μικρὸς
according-to us man as part with-the whole and small
τῷ μεγάλῳ, συναναστήσεται κόσμῳ, τὴν πρὸς τὸ μηκέτι
with-the great will-rise-with world the toward the no-longer

δύνασθαι φθείρεσθαι κομισάμενος δύναμιν· ὅταν ἐμφερῆ
to-be-able to-be-corrupted having-received power when like
τῇ τε ψυχῇ τὸ σῶμα, καὶ τοῖς νοητοῖς τὰ αἰσθητά,
to-the both soul the body and to-the intelligible(-things) the sensible(-things)
κατ᾽ εὐπρέπειαν καὶ δόξαν γενήσεται, μιᾶς ὅλοις κατ᾽
in comeliness and glory it-will-become of-one in-wholes according-to
ἐναργῆ τε καὶ ἐνεργὸν παρουσίαν, ἀναλόγως ἑκάστῳ θείας
clear both and active presence proportionately to-each divine
ἐπιφαινομένης δυνάμεως, καὶ δι᾽ ἑαυτῆς τὸν τῆς ἑνώσεως
appearing power and through itself the of-the union
ἄλυτον εἰς τοὺς ἀπείρους αἰῶνας συντηρούσης δεσμόν.
indissoluble into the infinite ages preserving bond
Εἴ τις οὖν βούλεται καὶ βίον καὶ λόγον θεοφιλῆ καὶ
if anyone then wishes both life and word God-loving and
θεάρεστον ἔχειν, τῶν τριῶν τούτων ἀνθρώπων· τοῦ κόσμου
God-pleasing to-have of-the three these men of-the world
τέ φημι, καὶ τῆς ἁγίας Γραφῆς, καὶ τοῦ καθ᾽ ἡμᾶς, τὰ
both I-mean and of-the holy Scripture and of-the according-to us the
κρείττω περὶ πολλοῦ ποιείτω καὶ τιμιώτερα. Ψυχῆς μὲν,
better(-things) of much let-him-make and more-honorable of-soul indeed
ὅση δύναμις ἐπιμελείσθω τῆς ἀθανάτου καὶ θείας καὶ
as-much-as power let-him-care-for the immortal and divine and
θεοποιηθησομένης ἐξ ἀρετῶν· καὶ σαρκὸς καταφρονείτω
going-to-be-deified from virtues and flesh let-him-despise
τῆς ὑποκειμένης φθορᾷ καὶ θανάτῳ, καὶ τὸ τῆς ψυχῆς
the subject to-corruption and to-death and the of-the soul
ἀμελούμενον ῥυπῶσαι δυναμένης ἀξίωμα. Φθαρτὸν γὰρ
neglected to-soil being-able dignity corruptible for
σῶμα, φησὶ, βαρύνει ψυχὴν, καὶ βρίθει τὸ γεῶδες σκῆνος
body he-says weighs-down soul and burdens the earthy tent
νοῦν πολυφρόντιδα. Καὶ πάλιν, Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ
mind much-caring and again the flesh desires against the

πνεύματος· τὸ δὲ πνεῦμα, κατὰ τῆς σαρκός. Καὶ αὖθις,
spirit the and spirit against the flesh and again
Ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει
the(-one) sowing to the flesh of-himself from the flesh will-reap
φθοράν. Πρὸς δὲ τὰς ἀσωμάτους καὶ νοερὰς δυνάμεις
corruption toward and the bodiless and intellectual powers
κατὰ νοῦν διὰ νοήσεως κινησάτω τὴν ἅμιλλαν, ἀφεὶς
according-to mind through understanding let-him-move the rivalry having-left
τὰ παρόντα καὶ βλεπόμενα· Τὰ γὰρ βλεπόμενα πρόσκαιρα,
the present(-things) and seen(-things) the for seen(-things) temporary
φησι· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια· αἷς διὰ τὸ
he-says the and not seen(-things) eternal in-which because-of the
πλῆθος τῆς κατ᾽ εἰρήνην ἕξεως ὁ Θεὸς ἐναναπαύεται.
abundance of-the according-to peace habit — God rests
Καὶ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, δι᾽ ἔμφρονος μελέτης
and toward the Spirit the holy through prudent study
τῆς ἁγίας Γραφῆς, ὑπερβὰς τὸ γράμμα, σωφρόνως
of-the holy Scripture having-passed-beyond the letter temperately
ἀναφερέσθω· ἐν ᾧ τὸ πλήρωμα ὑπάρχει τῶν ἀγαθῶν,
let-him-be-borne-up in whom the fullness is of-the goods
καὶ οἱ θησαυροὶ τῆς γνώσεως καὶ τῆς σοφίας ἀπόκρυφοι·
and the treasures of-the knowledge and of-the wisdom hidden
ὧν εἴ τις ἐντὸς ἄξιος γενέσθαι φανήσεται, τὸν Θεὸν
of-which if anyone within worthy to-become will-appear — God
αὐτὸν εὑρήσει ταῖς πλαξὶ τῆς καρδίας ἐγγεγραμμένον
himself he-will-find on-the tablets of-the heart engraved
διὰ τῆς ἐν πνεύματι χάριτος, ἀνακεκαλυμμένῳ προσώπῳ
through the in spirit grace with-unveiled face
τὴν τοῦ Θεοῦ δόξαν ἐνοπτριζόμενος τῇ περιαιρέσει τοῦ
the — of-God glory mirroring by-the removal of-the
κατὰ γράμμα καλύμματος.
according-to letter veil

Τίνων εἰσὶ σύμβολα, ἥ τε πρώτη τῆς ἁγίας συνάξεως 8
of-what are symbols the both first of-the holy synaxis
εἴσοδος, καὶ τὰ μετ᾽ αὐτὴν τελούμενα.
entrance and the(-things) after it being-celebrated
Ἥκει δὲ λοιπὸν ὁ λόγος ἡμῖν, μετὰ τὴν σύντομον ἔκθεσιν
comes and finally the word to-us after the brief exposition
τῶν εἰρημένων περὶ τῆς ἁγίας Ἐκκλησίας θεωριῶν παρὰ
of-the said about the holy Church contemplations by
τοῦ μακαρίου γέροντος, συντομωτέραν καὶ τὴν περὶ τῆς
the blessed old-man more-brief also the about the
ἁγίας τῆς Ἐκκλησίας συνάξεως διήγησιν, ὡς οἷόν τε,
holy of-the Church synaxis account as possible —
ποιησόμενος. Τὴν μὲν οὖν πρώτην εἰς τὴν ἁγίαν Ἐκκλησίαν
going-to-make the indeed then first into the holy Church
τοῦ ἀρχιερέως κατὰ τὴν ἱερὰν σύναξιν εἴσοδον, τῆς
of-the high-priest according-to the sacred synaxis entrance of-the
πρώτης τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Χριστοῦ
first of-the Son — of-God and Savior of-us Christ
διὰ σαρκὸς εἰς τὸν κόσμον τοῦτον παρουσίας τύπον καὶ
through flesh into the world this presence type and
εἰκόνα φέρειν, ἐδίδασκε· δι᾽ ἧς τὴν δουλωθεῖσαν τῇ
image to-bear he-taught through which the enslaved to-the
φθορᾷ καὶ παθοῦσαν ὑφ᾽ ἑαυτῆς τῷ θανάτῳ διὰ τῆς
corruption and having-suffered by itself to-the death through the
ἁμαρτίας, καὶ βασιλευομένην τυραννικῶς ὑπὸ τοῦ διαβόλου
sin and being-ruled tyrannically by the devil
τῶν ἀνθρώπων φύσιν ἐλευθερώσας τε καὶ λυτρωσάμενος·
of-the men nature having-freed both and having-ransomed
πᾶσαν τὴν ὑπὲρ αὐτῆς ὀφειλὴν, ὡς ὑπεύθυνος ἀποδοὺς ὁ
all the for it debt as liable having-paid the(-one)
ἀνεύθυνος καὶ ἀναμάρτητος, πάλιν πρὸς τὴν ἐξ ἀρχῆς
not-liable and sinless again to the from beginning

ἐπανήγαγε τῆς βασιλείας χάριν, ἑαυτὸν λύτρον ὑπὲρ ἡμῶν
led-back of-the kingdom grace himself ransom for us
δοὺς καὶ ἀντάλλαγμα· καὶ τῶν ἡμετέρων φθοροποιῶν
having-given and exchange and for-the our corruption-making
παθημάτων τὸ ζωοποιὸν αὐτοῦ πάθος ἀντιδοὺς,
sufferings the life-giving of-him suffering having-given-in-return
παιώνιον ἄκος καὶ παντὸς τοῦ κόσμου σωτήριον· μεθ' ἣν
healing remedy and of-all the world saving after which
παρουσίαν, ἡ εἰς οὐρανοὺς αὐτοῦ καὶ τὸν ὑπερουράνιον
presence the into heavens of-him and the above-heaven
θρόνον ἀνάβασίς τε καὶ ἀποκατάστασις συμβολικῶς
throne ascent both and restoration symbolically
τυποῦται, διὰ τῆς ἐν τῷ ἱερατείῳ τοῦ ἀρχιερέως εἰσόδου,
is-typified through the in the sanctuary of-the high-priest entrance
καὶ τῆς εἰς τὸν θρόνον τὸν ἱερατικὸν ἀναβάσεως.
and of-the into the throne the priestly ascent

9 Τίνος ἔχει δήλωσιν καὶ ἡ τοῦ λαοῦ εἰς τὴν ἁγίαν τοῦ
of-what has signification also the of-the people into the holy —
Θεοῦ Ἐκκλησίαν εἴσοδος.
of-God Church entrance

Τὴν δὲ τοῦ λαοῦ σὺν τῷ ἱεράρχῃ γενομένην εἰς τὴν
the and of-the people with the hierarch having-happened into the
Ἐκκλησίαν εἴσοδον, τὴν ἐξ ἀγνοίας καὶ πλάνης εἰς
Church entrance the from ignorance and error into
ἐπίγνωσιν Θεοῦ ἐπιστροφὴν τῶν ἀπίστων, καὶ τὴν ἀπὸ
knowledge of-God turning of-the unbelievers and the from
κακίας καὶ ἀγνωσίας εἰς ἀρετὴν καὶ γνῶσιν, μετάθεσιν τῶν
vice and ignorance into virtue and knowledge change of-the
πιστῶν σημαίνειν, ὁ μακάριος ἔλεγε γέρων. Οὐ γὰρ μόνον
faithful to-signify the blessed said old-man not for only
τὴν ἐπὶ τὸν ἀληθινὸν Θεὸν ἐπιστροφὴν τῶν ἀπίστων ἡ εἰς
the toward the true God turning of-the unbelievers the into

τὴν ἐκκλησίαν εἴσοδος παραδηλοῖ· ἀλλὰ καὶ ἑκάστου ἡμῶν
the church entrance indicates but also of-each of-us
τῶν πιστευόντων μὲν, ἀθετούντων δὲ τὰς ἐντολὰς τοῦ
of-the(-ones) believing indeed setting-aside and the commandments of-the
Κυρίου δι' ἀγωγῆς ἀκολάστου καὶ ἀσχήμονος βίου, τὴν
Lord through conduct licentious and unseemly of-life the
διὰ μετανοίας διόρθωσιν. Πᾶς γὰρ ἄνθρωπος, εἴτε φονεὺς,
through repentance correction every for man whether murderer
εἴτε μοιχὸς, εἴτε κλέπτης, εἴτε ὑπερήφανος, εἴτε ἀλαζὼν,
or adulterer or thief or arrogant or boaster
ἢ ὑβριστὴς, ἢ πλεονέκτης, ἢ φιλάργυρος, ἢ κατάλαλος,
or insolent or covetous or avaricious or slanderer
ἢ μνησίκακος, ἢ πρὸς θυμὸν καὶ ὀργὴν εὐάγωγος, ἢ
or grudge-bearer or toward temper and anger easily-led or
λοίδορος, ἢ συκοφάντης, ἢ ψίθυρος, ἢ φθόνῳ εὐχείρωτος,
reviler or sycophant or whisperer or by-envy easily-mastered
ἢ μέθυσος· καὶ ἁπλῶς, ἵνα μὴ πάντα τὰ τῆς κακίας εἴδη
or drunkard and simply that not all the of-the vice species
ἀπαριθμούμενος μηκύνω τὸν λόγον, ὅστις ὑφ' οἱασδήποτε
enumerating I-lengthen the word whoever by whatever
κακίας ἐνεχόμενος, ἐπὸν τοῦ ἑκουσίως κατ' ἐπιτήδευσιν
vice being-held when from-the voluntarily by practice
ἐνέχεσθαι καὶ ἐνεργεῖν κατὰ πρόθεσιν παύσοιτο, καὶ
to-be-held and to-work according-to purpose he-should-cease and
μεταβαλοῖ τὸν βίον ἐπὶ τὸ κρεῖττον, τῆς κακίας τὴν
should-change the life to the better than-the vice the
ἀρετὴν ἀνθαιρούμενος· ὁ τοιοῦτος κυρίως τε καὶ ἀληθῶς
virtue choosing-instead the such(-a-one) properly both and truly
Χριστῷ τῷ Θεῷ καὶ ἀρχιερεῖ νοείσθω τε καὶ λεγέσθω
with-Christ — God and high-priest let-be-understood both and let-be-said
συνεισιέναι εἰς τὴν ἀρετὴν, Ἐκκλησίαν τροπικῶς νοουμένην.
to-enter-with into the virtue Church figuratively being-understood

10 Τίνων εἰσὶ σύμβολον τὰ θεῖα ἀναγνώσματα.
of-what are symbol the divine readings
Τὰς δὲ θείας τῶν πανιέρων βίβλων ἀναγνώσεις, τὰς
the and divine of-the all-holy books readings the
θείας καὶ μακαρίας τοῦ παναγίου Θεοῦ βουλήσεις τε καὶ
divine and blessed of-the all-holy God wills both and
βουλὰς ὑπεμφαίνειν, ἔλεγεν ὁ διδάσκαλος· δι' ὧν τὰς
counsels to-indicate said the teacher through which the
ὑποθήκας τῶν πρακτέων, ἀναλόγως ἕκαστος ἡμῶν,
precepts of-the(-things) to-be-done proportionately each of-us
κατὰ τὴν ὑποῦσαν αὐτῷ δύναμιν, λαμβάνομεν· καὶ τοὺς
according-to the underlying in-him power we-receive and the
τῶν θείων καὶ μακαρίων ἀγώνων νόμους μανθάνομεν·
of-the divine and blessed contests laws we-learn
καθ' οὓς νομίμως ἀθλοῦντες, τῶν ἀξιονίκων τῆς
according-to which lawfully contending of-the worthy-of-victory of-the
Χριστοῦ βασιλείας ἀξιούμεθα στεφάνων.
of-Christ kingdom we-are-deemed-worthy crowns

11 Τίνος ἐστὶ σύμβολον τὰ θεῖα ᾄσματα.
of-what is symbol the divine songs
Τὴν δὲ πνευματικὴν τῶν θείων ᾀσμάτων τερπνότητα, τὴν
the and spiritual of-the divine songs delight the
ἐμφαντικὴν δηλοῦν ἔφασκε, τῶν θείων ἡδονὴν ἀγαθῶν·
expressive to-show he-said of-the divine pleasure goods
τὴν τὰς ψυχὰς πρὸς μὲν τὸν ἀκήρατον τοῦ Θεοῦ καὶ
the the souls toward indeed the pure — of-God and
μακάριον ἀνακινοῦσαν ἔρωτα· πρὸς δὲ τὸ μῖσος τῆς
blessed stirring-up eros toward and the hatred of-the
ἁμαρτίας, πλέον ἐγείρουσαν.
sin more rousing

Τί σημαίνουσιν αἱ τῆς εἰρήνης προσφωνήσεις. 12
what signify the of-the peace salutations
Διὰ δὲ τῶν γινομένων ἔνδοθεν ἐκ τοῦ ἱερατείου κελεύσει
through and the happening from-within from the sanctuary by-command
τοῦ ἀρχιερέως, ἐφ' ἑκάστῳ ἀναγνώσματι τῆς εἰρήνης
of-the high-priest at each reading of-the peace
ὑποφωνήσεων· τὰς διὰ τῶν ἁγίων ἀγγέλων διακομιζομένας
responses the through the holy angels conveyed
θείας ἀποδοχὰς δηλοῦσθαι, ὁ σοφὸς διωρίζετο· δι' ὧν
divine acceptances to-be-shown the wise(-man) defined through which
ὁ Θεὸς ὁρίζει τῶν νομίμως ὑπὲρ τῆς ἀληθείας πρὸς τὰς
— God defines of-the(-ones) lawfully for the truth against the
ἀντικειμένας δυνάμεις ἀθλούντων τοὺς ἀγῶνας, τὰς ἀοράτους
opposing powers contending the contests the invisible
συμπλοκὰς διαλύων, καὶ εἰρήνην διδοὺς ἐν τῇ καταργήσει
grapplings dissolving and peace giving in the abolition
τοῦ σώματος τῆς ἁμαρτίας, καὶ τῶν ὑπὲρ ἀρετῆς πόνων
of-the body of-the sin and for-the for virtue labors
τῆς ἀπαθείας τὴν χάριν τοῖς ἁγίοις ἀντιδιδούς· ἵνα τοῦ
of-the dispassion the grace to-the saints giving-in-return that from-the
πολεμεῖν ἀφέμενοι, πρὸς γεωργίαν πνευματικὴν, εἴτουν
to-war having-been-released to cultivation spiritual that-is
ἀρετῶν ἐργασίαν, τὰς τῆς ψυχῆς μετασκευάσωσι δυνάμεις·
of-virtues working the of-the soul they-may-transform powers
δι' ὧν τὰ στίφη τῶν πονηρῶν πνευμάτων διέλυσαν,
through which the troops of-the wicked spirits they-dissolved
στρατηγοῦντος αὐτοῖς τοῦ Θεοῦ καὶ Λόγου, καὶ τὰ πικρὰ
leading-as-general them — God and Word and the bitter
τοῦ διαβόλου καὶ δύσφυκτα μηχανήματα διασκεδάζοντος.
of-the devil and hard-to-escape devices scattering

13 Τίνος ἰδικῶς ἐπὶ τοῦ καθ᾽ ἕκαστον σύμβολόν ἐστιν ἡ
of-what particularly in the according-to each symbol is the
ἀνάγνωσις τοῦ ἁγίου Εὐαγγελίου, καὶ τὰ μετ᾽ αὐτὴν
reading of-the holy Gospel and the(-things) after it
μυστικά.
mystical
Ὅθεν εὐθὺς μετὰ ταύτας, τὴν θείαν τοῦ ἁγίου Εὐαγγελίου
whence at-once after these the divine of-the holy Gospel
ἀνάγνωσιν, ἡ τῆς ἁγίας Ἐκκλησίας ἱερὰ διάταξις
reading the of-the holy Church sacred ordinance
ἐνομοθέτησε γίγνεσθαι· ἰδικῶς μὲν τὴν ὑπὲρ τοῦ λόγου
legislated to-happen particularly indeed the for the word
τοῖς σπουδαίοις κακοπάθειαν εἰσηγουμένην· μεθ᾽ ἣν ὁ
to-the zealous hardship introducing after which the
τῆς γνωστικῆς θεωρίας ὥσπερ Ἀρχιερεὺς οὐρανόθεν
of-the knowing contemplation as-it-were High-priest from-heaven
ἐπιδημῶν αὐτοῖς Λόγος, τῆς σαρκὸς αὐτοῖς ὥσπερ τινὰ
sojourning with-them Word of-the flesh for-them as-it-were some
κόσμον αἰσθητὸν συστέλλει τὸ φρόνημα· τοὺς ἔτι πρὸς
world sensible draws-in the mind the still toward
γῆν κατανεύοντας λογισμοὺς ἀπωθούμενος, καὶ πρὸς τὴν
earth inclining thoughts pushing-away and toward the
τῶν νοητῶν ἐποψίαν ἐντεῦθεν διὰ τῆς τῶν θυρῶν
of-the intelligible(-things) vision from-here through the of-the doors
κλείσεως, καὶ τῆς εἰσόδου τῶν ἁγίων μυστηρίων, αὐτοὺς
closing and of-the entrance of-the holy mysteries them
ἀγαγὼν, λόγων τε καὶ πραγμάτων, μύσαντας ἤδη τὰς
having-led of-words both and of-things having-shut already the
αἰσθήσεις· καὶ ἔξω σαρκὸς καὶ κόσμου γεγενημένους, τὰ
senses and outside flesh and world having-come-to-be the
ἀπόῤῥητα διδάσκει· συναχθέντας ἤδη διὰ τοῦ ἀσπασμοῦ
ineffable(-things) teaches gathered already through the kiss

πρὸς ἑαυτούς τε καὶ αὐτὸν, καὶ μόνην ἀντεισάγοντας αὐτῷ
toward themselves both and him and only bringing-in-return to-him
τῆς περὶ αὐτοὺς πολλῆς εὐεργεσίας, εὐγνωμόνως, τὴν ὑπὲρ
of-the toward them much beneficence gratefully the for
τῆς ἑαυτῶν σωτηρίας εὐχαριστήριον ὁμολογίαν· ἣν τὸ
the of-themselves salvation thankful confession which the
θεῖον τῆς πίστεως αἰνίττεται σύμβολον. Εἶτα τοῖς ἀγγέλοις
divine of-the faith hints symbol then with-the angels
ἐναριθμίους αὐτοὺς καταστήσας διὰ τοῦ Τρισαγίου, καὶ τὴν
numbered them having-made through the Thrice-Holy and the
αὐτὴν ἐκείνοις ἐπιστήμην τῆς ἁγιαστικῆς θεολογίας αὐτοῖς
same with-those knowledge of-the sanctifying theology to-them
χαρισάμενος, τῷ Θεῷ καὶ Πατρὶ προσάγει, υἱοθετηθέντας
having-granted — to-God and Father he-brings adopted
τῷ Πνεύματι διὰ τῆς προσευχῆς, δι' ἧς Πατέρα
by-the Spirit through the prayer through which Father
καλεῖν τὸν Θεὸν ἠξιώθησαν. Κἀντεῦθεν πάλιν ὥσπερ
to-call — God they-were-deemed-worthy and-from-here again as-it-were
ἐπιστημόνως ἤδη τοὺς ἐν τοῖς οὖσι πάντας λόγους
knowingly already the in the(-things) being all principles
περάσαντας, πρὸς τὴν ἄγνωστον ἀγνώστως διὰ τοῦ,
having-passed-through to the unknown unknowably through the
Εἷς ἅγιος, καὶ τῶν ἑξῆς, ἄγει μονάδα, τῇ χάριτι
one holy and the(-things) following he-leads monad by-the grace
ἑνωθέντας, καὶ κατὰ μέθεξιν πρὸς αὐτὴν ὁμοιωθέντας
united and by participation to it made-like
τῇ κατὰ δύναμιν ἀδιαιρέτῳ ταυτότητι.
by-the according-to power undivided identity

14 Τίνος ἐστὶ σύμβολον, καὶ τὸ γενικῶς σημαινόμενον, ἡ
of-what is symbol also the generally signified the
θεία τοῦ ἁγίου Εὐαγγελίου ἀνάγνωσις.
divine of-the holy Gospel reading
Γενικῶς δὲ τὴν τοῦ κόσμου τούτου συντέλειαν
generally and the of-the world this consummation
ὑποσημαίνουσαν. Μετὰ γὰρ τὴν θείαν τοῦ ἁγίου Εὐαγγελίου
indicating after for the divine of-the holy Gospel
ἀνάγνωσιν, ὅ τε ἀρχιερεὺς κάτεισι τοῦ θρόνου· καὶ ἡ
reading the both high-priest comes-down from-the throne and the
τῶν κατηχουμένων, καὶ ἡ τῶν λοιπῶν τῶν ἀναξίων τῆς
of-the catechumens and the of-the remaining of-the unworthy of-the
θείας τῶν δειχθησομένων μυστηρίων θεωρίας, ἀπόλυσίς τε
divine of-the going-to-be-shown mysteries contemplation dismissal both
καὶ ἐκβολὴ διὰ τῶν λειτουργῶν γίγνεται· σημαίνουσα καὶ
and expulsion through the ministers happens signifying and
προτυποῦσα δι᾽ ἑαυτῆς τὴν ἀλήθειαν, ἧς εἰκὼν ὑπάρχει
prefiguring through itself the truth of-which image is
καὶ τύπος, καὶ οἷον ἐν τούτοις βοῶσα, ὅτι μετὰ τὸ
and type and as-it-were in these crying that after the
κηρυχθῆναι τὸ Εὐαγγέλιον, καθὼς γέγραπται, τῆς βασιλείας
to-be-preached the Gospel as it-has-been-written of-the kingdom
ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, τότε
in whole the inhabited-world for testimony to-all the nations then
ἥξει τὸ τέλος· παραγινομένου κατὰ τὴν δευτέραν αὐτοῦ
will-come the end arriving according-to the second of-him
παρουσίαν, ἐξ οὐρανῶν δηλαδὴ, μετὰ δόξης πολλῆς τοῦ
coming from heavens plainly with glory much of-the
μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· Αὐτὸς
great God and Savior of-us Jesus Christ he
γὰρ ὁ Κύριος ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ
for the Lord with voice of-archangel and with trumpet of-God

καταβήσεται ἀπ᾽ οὐρανοῦ, φησὶν ὁ θεῖος Ἀπόστολος· καὶ
will-come-down from heaven says the divine Apostle and
ποιοῦντος ἐκδίκησιν ἐν τοῖς ὑπεναντίοις, καὶ ἀφορίζοντος
making vengeance on the adversaries and separating
διὰ τῶν ἁγίων ἀγγέλων τοὺς πιστοὺς ἀπὸ τῶν ἀπίστων,
through the holy angels the faithful from the unfaithful
καὶ ἀπὸ τῶν δικαίων τοὺς ἀδίκους, καὶ τῶν ἁγίων τοὺς
and from the just the unjust and from-the saints the
ἐναγεῖς· καὶ ἁπλῶς, ἵνα συνελὼν εἴπω, τῶν Πνεύματι
accursed and simply that summarizing I-may-say from-the(-ones) by-Spirit
Θεοῦ στοιχησάντων, τοὺς ὀπίσω σαρκὸς πορευθέντας· καὶ
of-God having-walked the(-ones) after flesh having-gone and
ἐπ᾽ αἰῶσι ἀπείροις τε καὶ ἀτελευτήτοις, ὡς ἡ τῶν θείων
for ages infinite both and endless as the of-the divine
λογίων ἀλήθειά φησι, κατ᾽ ἀξίαν τῶν βεβιωμένων
oracles truth says according-to worth of-the(-things) lived
ἑκάστῳ δικαίαν ἀποδιδόντος τὴν ἀμοιβήν.
to-each just rendering the recompense
Τίνος σύμβολόν ἐστι ἡ κλεῖσις τῶν θυρῶν τῆς ἁγίας 15
of-what symbol is the closing of-the doors of-the holy
ἐκκλησίας, ἡ μετὰ τὸ ἅγιον Εὐαγγέλιον γιγνομένη.
church the after the holy Gospel happening
Ἡ δὲ μετὰ τὴν ἱερὰν ἀνάγνωσιν τοῦ ἁγίου Εὐαγγελίου,
the and after the sacred reading of-the holy Gospel
καὶ τὴν ἐκβολὴν τῶν κατηχουμένων γινομένη κλεῖσις
and the expulsion of-the catechumens happening closing
τῶν θυρῶν τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, τὴν τε τῶν
of-the doors of-the holy — of-God church the both of-the
ὑλικῶν δηλοῖ πάροδον, καὶ τὴν γενησομένην μετὰ τὸν
material(-things) shows passing and the going-to-happen after the
φοβερὸν ἐκεῖνον ἀφορισμὸν καὶ τὴν φοβερωτέραν ψῆφον,
fearful that separation and the more-fearful vote

εἰς τὸν νοητὸν κόσμον, ἤτοι τὸν νυμφῶνα τοῦ Χριστοῦ,
into the intelligible world that-is the bridal-chamber — of-Christ
τῶν ἀξίων εἴσοδον· καὶ τὴν ἐν ταῖς αἰσθήσεσι τῆς
of-the worthy(-ones) entrance and the in the senses of-the
κατὰ τὴν ἀπάτην ἐνεργείας τελείαν ἀποβολήν.
according-to the deceit activity perfect casting-off

16 Τί σημαίνει ἡ τῶν ἁγίων μυστηρίων εἴσοδος.
what signifies the of-the holy mysteries entrance

Ἡ δὲ τῶν ἁγίων καὶ σεπτῶν μυστηρίων εἴσοδος, ἀρχὴ
the and of-the holy and august mysteries entrance beginning
καὶ προοίμιόν ἐστιν (ὡς ὁ μέγας ἐκεῖνος ἔφασκε γέρων)
and prelude is as the great that said old-man
τῆς γενησομένης ἐν οὐρανοῖς καινῆς διδασκαλίας περὶ τῆς
of-the going-to-happen in heavens new teaching about the
οἰκονομίας τοῦ Θεοῦ τῆς εἰς ἡμᾶς, καὶ ἀποκάλυψις τοῦ
dispensation — of-God the toward us and revelation of-the
ἐν ἀδύτοις τῆς θείας κρυφιότητος ὄντος μυστηρίου τῆς
in sanctuaries of-the divine hiddenness being mystery of-the
ἡμῶν σωτηρίας. Οὐ γὰρ μὴ πίω, φησὶ πρὸς τοὺς ἑαυτοῦ
our salvation not for — I-will-drink he-says to the of-himself
μαθητὰς ὁ Θεὸς καὶ Λόγος, ἀπ᾽ ἄρτι ἐκ τοῦ γεννήματος
disciples — God and Word from now from the fruit
τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω
of-the vine until the day that when it I-drink
μεθ᾽ ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς ἐμοῦ.
with you new in the kingdom of-the Father of-me

17 Τίνος ἐστὶ σύμβολον ὁ θεῖος ἀσπασμός.
of-what is symbol the divine kiss

Ὁ δὲ πᾶσι προσφωνούμενος πνευματικὸς ἀσπασμὸς, τὴν
the and to-all being-proclaimed spiritual kiss the
ἐσομένην πάντων πρὸς ἀλλήλους ἐν τῷ καιρῷ τῆς τῶν
going-to-be of-all toward one-another in the time of-the of-the

μελλόντων ἀῤῥήτων ἀγαθῶν ἀποκαλύψεως, κατὰ πίστιν
coming ineffable goods revelation according-to faith
τε καὶ ἀγάπην, ὁμόνοιάν τε καὶ ὁμογνωμοσύνην, καὶ
both and love concord both and like-mindedness and
ταυτότητα λογικήν· δι' ἣν τὴν πρὸς τὸν Λόγον καὶ Θεὸν
identity rational because-of which the toward the Word and God
οἰκείωσιν οἱ ἄξιοι δέχονται, προτυποῖ καὶ προδιαγράφει.
kinship the worthy(-ones) receive prefigures and pre-describes
Λόγου γὰρ σύμβολον τὸ στόμα, καθ' ὃν μάλιστα πᾶσιν
of-word for symbol the mouth according-to which most-of-all with-all
ἅπαντες οἱ λόγου μετειληφότες, ὡς λογικοὶ, καὶ τῷ
all the(-ones) of-word having-partaken as rational(-beings) also with-the
πρώτῳ καὶ μόνῳ Λόγῳ, καὶ παντὸς αἰτίῳ λόγου συμφύονται.
first and only Word and of-every cause word grow-together
Τί σημαίνει τὸ θεῖον τῆς πίστεως Σύμβολον. 18
what signifies the divine of-the faith Symbol
Ἡ δὲ τοῦ θείου συμβόλου τῆς πίστεως γινομένη παρὰ
the and of-the divine symbol of-the faith happening by
πάντων ὁμολογία, τὴν ἐφ' οἷς ἐσώθημεν παραδόξοις
all confession the for which we-were-saved paradoxical
λόγοις τε καὶ τρόποις τῆς πανσόφου περὶ ἡμᾶς τοῦ Θεοῦ
principles both and ways of-the all-wise toward us — of-God
προνοίας γενησομένην μυστικὴν εὐχαριστίαν, κατὰ τὸν
providence going-to-happen mystical thanksgiving in the
αἰῶνα τὸν μέλλοντα, προσημαίνει· δι' ἧς εὐγνώμονας
age the coming foreshadows through which grateful
ἐπὶ τῇ θείᾳ εὐεργεσίᾳ ἑαυτοὺς συνιστῶσιν οἱ ἄξιοι·
for the divine beneficence themselves establish the worthy(-ones)
πλὴν ταύτης τῶν περὶ αὐτοὺς ἀπείρων θείων ἀγαθῶν
except this for-the toward them infinite divine goods
ἀντεισαγαγεῖν ἄλλο τι καθ' ὁτιοῦν οὐκ ἔχοντες.
to-bring-in-return other something in anything-whatever not having

19 Τί σημαίνει ἡ τοῦ Τρισαγίου δοξολογία.

what signifies the of-the Thrice-Holy doxology

Ἡ δὲ γινομένη τρισσὴ τοῦ ἁγιασμοῦ τῆς θείας ὑμνολογίας

the and happening threefold of-the sanctification of-the divine hymnody

ἐκβόησις παρὰ παντὸς τοῦ πιστοῦ λαοῦ, τὴν πρὸς

acclamation by all the faithful people the toward

τὰς ἀσωμάτους καὶ νοερὰς δυνάμεις κατὰ τὸ μέλλον

the bodiless and intellectual powers in the future

φανησομένην ἕνωσίν τε καὶ ἰσοτιμίαν παραδηλοῖ· καθ᾽

going-to-appear union both and equality-of-honor indicates according-to

ἣν συμφώνως ταῖς ἄνω δυνάμεσι, διὰ ταυτότητα

which harmoniously with-the above powers because-of identity

τῆς ἀτρέπτου περὶ Θεὸν ἀεικινησίας, τρισὶν ἁγιασμοῖς

of-the unchanging about God ever-movement with-three sanctifications

ὑμνεῖν τε καὶ ἁγιάζειν τὴν τρισυπόστατον μίαν θεότητα

to-hymn both and to-sanctify the three-hypostatic one divinity

διδαχθήσεται τῶν ἀνθρώπων ἡ φύσις.

will-be-taught of-the men the nature

20 Τίνος ἐστὶ σύμβολον ἡ ἁγία προσευχὴ τοῦ, «Πάτερ ἡμῶν

of-what is symbol the holy prayer of-the Father of-us

ὁ ἐν τοῖς οὐρανοῖς.»

the(-one) in the heavens

Ἡ δὲ παναγία τε καὶ σεπτὴ τοῦ μεγάλου καὶ μακαρίου

the and all-holy both and august of-the great and blessed

Θεοῦ καὶ Πατρὸς ἐπίκλησις, τῆς δοθησομένης ἐνυποστάτου

God and Father invocation of-the going-to-be-given hypostatic

τε καὶ ἐνυπάρκτου κατὰ δωρεὰν καὶ χάριν τοῦ ἁγίου

both and existent according-to gift and grace of-the holy

Πνεύματος, υἱοθεσίας ἐστὶ σύμβολον· καθ᾽ ἣν πάσης

Spirit adoption is symbol according-to which all

ὑπερνικωμένης τε καὶ καλυπτομένης ἀνθρωπίνης ἰδιότητος,

being-overcome both and being-covered human property

τῇ ἐπιφοιτήσει τῆς χάριτος, υἱοὶ Θεοῦ χρηματίσουσί τε
by-the visitation of-the grace sons of-God will-be-called both
καὶ ἔσονται πάντες οἱ ἅγιοι, ὅσοι δι᾽ ἀρετῶν ἀπ᾽
and will-be all the saints as-many-as through virtues from
ἐντεῦθεν ἤδη τῷ θείῳ τῆς ἀγαθότητος κάλλει ἑαυτοὺς
here already with-the divine of-the goodness beauty themselves
λαμπρῶς τε καὶ ἐπιδόξως ἐφαίδρυναν.
brightly both and gloriously made-bright

Τί σημαίνει τὸ τέλος τῆς μυστικῆς ἱερουργίας τῶν 21
what signifies the end of-the mystical sacred-rite of-the
ἐκφωνουμένων ὕμνων· τουτέστιν, «Εἷς Ἅγιος, εἷς Κύριος,»
being-proclaimed hymns that-is one Holy one Lord
καὶ τὰ ἑξῆς.
and the(-things) following

Ἡ δὲ κατὰ τὸ τέλος τῆς μυστικῆς ἱερουργίας παρὰ
the and at the end of-the mystical sacred-rite by
παντὸς τοῦ λαοῦ γινομένη τοῦ, Εἷς Ἅγιος, καὶ τῶν
all the people happening of-the one Holy and of-the(-things)
ἑξῆς, ὁμολογία, τὴν ὑπὲρ λόγον καὶ νοῦν πρὸς τὸ ἓν τῆς
following confession the beyond reason and mind toward the one of-the
θείας ἁπλότητος κρύφιον γενησομένην τῶν μυστικῶς
divine simplicity hidden going-to-happen of-the(-ones) mystically
τε καὶ σοφῶς κατὰ Θεὸν τετελεσμένων, συναγωγήν τε
both and wisely according-to God perfected gathering both
καὶ ἕνωσιν δηλοῖ, ἐν τῷ ἀφθάρτῳ τῶν νοητῶν αἰῶνι·
and union shows in the incorruptible of-the intelligible(-things) age
καθ᾽ ὃν τῆς ἀφανοῦς καὶ ὑπεραῤῥήτου δόξης τὸ φῶς
according-to which of-the hidden and super-ineffable glory the light
ἐνοπτεύοντες, τῆς μακαρίας, μετὰ τῶν ἄνω δυνάμεων, καὶ
beholding of-the blessed with the above powers also
αὐτοὶ δεκτικοὶ γίνονται καθαρότητος· μεθ᾽ ἣν, ὡς τέλος
themselves receptive become purity after which as end

πάντων, ἡ τοῦ μυστηρίου μετάδοσις γίνεται· μεταποιοῦσα
of-all the of-the mystery imparting happens transforming
πρὸς ἑαυτὴν, καὶ ὁμοίους τῷ κατ᾽ αἰτίαν ἀγαθῷ
toward itself and like to-the by cause good
κατὰ χάριν καὶ μέθεξιν ἀποφαίνουσα τοὺς ἀξίως
according-to grace and participation declaring the(-ones) worthily
μεταλαμβάνοντας, ἐν μηδενὶ αὐτοῦ λειπομένους, κατὰ
partaking in nothing of-him falling-short according-to
τὸ ἐφικτὸν ἀνθρώποις καὶ ἐνδεχόμενον. Ὥστε καὶ αὐτοὺς
the attainable to-men and possible so-that also them
δύνασθαι εἶναί τε καὶ καλεῖσθαι θέσει κατὰ τὴν χάριν
to-be-able to-be both and to-be-called by-adoption according-to the grace
θεοὺς, διὰ τὸν αὐτοὺς ὅλως πληρώσαντα ὅλον Θεὸν, καὶ
gods because-of the them wholly having-filled whole God and
μηδὲν αὐτῶν τῆς αὐτοῦ παρουσίας κενὸν καταλείψαντα.
nothing of-them of-the of-him presence empty having-left

22 Πῶς, καὶ τίνι τρόπῳ καὶ ἡ τῆς ψυχῆς καθ᾽ ἑαυτὴν
how and in-what way also the of-the soul by itself
νοουμένης ἐπὶ τοῦ καθ᾽ ἕκαστον ἰδικῶς ἐκθεωτικὴ καὶ
being-understood in the according-to each particularly deifying and
τελειοποιὸς διὰ τῶν εἰρημένων θεωρεῖται κατάστασις.
perfecting through the(-things) said is-contemplated state
Δεῦρο δὴ οὖν, διὰ τῶν αὐτῶν ὁδῷ καὶ τάξει βαίνοντες,
come indeed then through the same(-things) by-road and order walking
πάλιν τὰ αὐτὰ καὶ περὶ ψυχῆς γνωστικῆς θεωρήσωμεν·
again the same(-things) also about soul knowing let-us-contemplate
καὶ συναναβῆναι μικρὸν κατὰ δύναμιν τῷ λόγῳ μετ᾽
and to-go-up-with a-little according-to power with-the word with
εὐλαβείας πρὸς ὑψηλοτέραν θεωρίαν, σκοπῆσαί τε καὶ
reverence toward higher contemplation to-consider both and
κατανοῆσαι πῶς οἱ θεῖοι τῆς ἁγίας Ἐκκλησίας θεσμοὶ τὴν
to-perceive how the divine of-the holy Church ordinances the

ψυχὴν ἐπὶ τὴν ἑαυτῆς τελειότητα δι᾽ ἀληθοῦς καὶ ἐνεργοῦς
soul to the of-herself perfection through true and active
γνώσεως ἄγουσι, ποθοῦντα τὸν νοῦν καὶ βουλόμενον, Θεοῦ
knowledge lead longing the mind and wishing God
χειραγωγοῦντος (εἰ δοκεῖ) μὴ κωλύσωμεν.
leading-by-the-hand if it-seems-good not let-us-hinder
Ὅτι σύμβολον τῶν κατὰ ψυχὴν ἀρετῶν ἐστιν ἡ πρώτη 23
that symbol of-the according-to soul virtues is the first
εἴσοδος τῆς ἁγίας συνάξεως.
entrance of-the holy synaxis
Ἄθρει τοιγαροῦν, ὅστις τῆς μακαρίας τοῦ Χριστοῦ σοφίας
behold therefore whoever of-the blessed — of-Christ wisdom
γνήσιος καθέστηκας ἐραστὴς, νοὸς ὀφθαλμοῖς, κατὰ τὴν
genuine have-become lover with-mind's eyes in the
πρώτην εἴσοδον τῆς ἁγίας συνάξεως ἀπὸ τῆς ἔξωθεν τῶν
first entrance of-the holy synaxis from the outside of-the
ὑλικῶν πλάνης καὶ ταραχῆς, κατὰ τὸ γεγραμμένον,
material(-things) error and turmoil according-to the written
Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε· τῆς ἐν εἴδει καὶ
women coming from spectacle come of-the in form and
σχήματι, φημὶ κατὰ τὴν πρόσοψιν τῶν αἰσθητῶν
shape I-mean according-to the appearance of-the sensible(-things)
περιπλανήσεως· οὐ γὰρ θεωρίαν εἰπεῖν ἀληθὲς, κατὰ
wandering not for contemplation to-say true according-to
τοὺς ἀσόφους τῶν παρ᾽ Ἕλλησι λεγομένων σοφῶν
the unwise of-the(-ones) among Greeks called wise
(μηδὲ γὰρ σοφοὶ κληθεῖέν ποτε πρὸς ἡμῶν, οἱ τὸν
not-even for wise may-they-be-called ever by us the(-ones) —
Θεὸν γνῶναι διὰ τῶν αὐτοῦ ποιημάτων μὴ δυνηθέντες,
God to-know through the of-him works not having-been-able
ἢ μὴ βουληθέντες) τῶν αἰσθητῶν λέγω τὴν ἐπιφάνειαν,
or not having-wished of-the sensible(-things) I-say the surface

καθ' ἣν ὁ διηνεκὴς τῶν αἰσθητῶν πρὸς ἄλληλα
according-to which the continual of-the sensible(-things) toward one-another
συνέστηκε πόλεμος, πᾶσι τὴν δι' ἀλλήλων φθορὰν
has-been-composed war to-all the through one-another corruption
ἐνεργῶν, πάντων φθειρόντων ἄλληλα καὶ ἐν ἀλλήλοις
working all corrupting one-another and in one-another
φθειρομένων· καὶ τοῦτο μόνον πάγιον ἔχοντα, τὸ ἀστατεῖν
being-corrupted and this only firm having the to-be-unstable
καὶ φθείρεσθαι, καὶ μηδέποτε συμβαίνειν ἀλλήλοις κατὰ
and to-be-corrupted and never to-agree with-one-another in
διαμονὴν ἄμαχον δύνασθαι καὶ ἀστασίαστον· ἐρχομένην
permanence unwarring to-be-able and unfactioned coming
τε τὴν ψυχὴν, καὶ προτροπάδην φεύγουσαν, καὶ ὥσπερ
both the soul and headlong fleeing and as
εἰς Ἐκκλησίαν καὶ ἄσυλον εἰρήνης ἀνάκτορον, τὴν ἐν
into Church and inviolable of-peace palace the in
πνεύματι φυσικὴν θεωρίαν, τὴν ἄμαχον καὶ πάσης
spirit natural contemplation the unwarring and from-all
ἐλευθέραν ταραχῆς, μετὰ Λόγου τε καὶ ὑπὸ τοῦ Λόγου
free turmoil with Word both and by the Word
τοῦ μεγάλου καὶ ἀληθοῦς ἡμῶν Θεοῦ καὶ ἀρχιερέως
the great and true of-us God and high-priest
εἰσερχομένην· καὶ ὡς διὰ συμβόλων τῶν γινομένων
entering and as through symbols of-the happening
θείων ἀναγνωσμάτων, τοὺς τῶν ὄντων διδασκομένην
divine readings the of-the(-things) being being-taught
λόγους, καὶ τὸ θαυμαστὸν καὶ μέγα τῆς ἐν νόμῳ καὶ
principles and the wonderful and great of-the in law and
προφήταις δηλουμένης θείας προνοίας μυστήριον· καθ'
prophets being-shown divine providence mystery in
ἕκαστόν τε δεξαμένην, ὑπὲρ τῆς ἐν τούτοις καλῆς
each both having-received for the in these good

μαθητείας θεόθεν διὰ τῶν ἁγίων δυνάμεων, νοερῶς κατὰ
discipleship from-God through the holy powers intellectually in
διάνοιαν αὐτῇ διαλεγομένων, τὰς εἰρηνοδώρους σημειώσεις,
thought with-her conversing the peace-giving signs
μετὰ τῆς ῥωστικῆς καὶ συντηρητικῆς θέλξεως, τῆς θείας
with the strengthening and preserving charm of-the divine
καὶ διαπύρου κατὰ Θεὸν ἐφέσεως, διὰ τῆς μυστικῶς
and fiery according-to God desire through the mystically
ὑπᾳδομένης αὐτῇ νοητῶς τῶν θείων ᾀσμάτων ἡδονῆς.
being-sung-to her intelligibly of-the divine songs pleasure
Πάλιν ἐκ τούτων μεταβαίνουσαν, καὶ συναγομένην ἐπὶ
again from these passing-over and being-gathered to
τὴν μίαν καὶ μόνην καὶ ἑνιαίως τούτους συλλαμβάνουσαν
the one and only and singly these comprehending
τοὺς λόγους κορυφήν· λέγω δὲ, τὸ ἅγιον Εὐαγγέλιον, ἐν
the principles summit I-mean and the holy Gospel in
ᾧ πάντες τῆς τε προνοίας καὶ τῶν ὄντων οἱ λόγοι
which all of-the both providence and of-the(-things) being the principles
κατὰ μίαν περιοχῆς δύναμιν ἑνοειδῶς προϋφεστήκασι.
according-to one of-encompassing power uniformly pre-subsist
Μεθ' ὃ κατ' αἴσθησιν θείαν αὐτὸν ὁρᾷν ἔνεστι
after which according-to sense divine him to-see it-is-possible
πάλιν θεμιτὸν τοῖς φιλοθέοις, ἀταρβήτοις νοὸς ὄμμασι
again lawful to-the God-lovers with-fearless of-mind eyes
παραγινόμενον οὐρανόθεν αὐτῇ τὸν Λόγον καὶ Θεὸν, ὡς
arriving from-heaven to-her the Word and God as
ἡ τοῦ ἀρχιερέως ἀπὸ τοῦ θρόνου τοῦ ἱερατικοῦ σημαίνει
the of-the high-priest from the throne the priestly signifies
κατάβασις· καὶ τέλειον αὐτῆς διακρίνοντα κατηχουμένων
descent and perfectly from-her separating of-catechumens
δίκην τοὺς ἔτι τὴν αἴσθησιν, καὶ τὸ κατ' αὐτὴν
like the still the sense and the according-to it

μεριστὸν φαντασιουμένους λογισμούς. Κἀντεῦθεν πάλιν ἔξω
divided imagining thoughts and-from-here again outside
γενομένην τῶν αἰσθητῶν, ὡς ἡ τῶν θυρῶν τῆς ἁγίας
having-become of-the sensible(-things) as the of-the doors of-the holy
τοῦ Θεοῦ ἐκκλησίας νοεῖν ὑποτίθεται κλεῖσις· ἐπὶ τὴν
— of-God church to-understand suggests closing to the
δηλουμένην διὰ τῆς εἰσόδου τῶν ἀῤῥήτων μυστηρίων,
shown through the entrance of-the ineffable mysteries
ἄϋλον καὶ ἁπλῆν καὶ ἀναλλοίωτον καὶ θεοειδῆ, καὶ παντὸς
immaterial and simple and unaltered and godlike and from-every
ἐλευθέραν εἴδους καὶ σχήματος ἐπιστήμην τῶν νοητῶν
free form and shape knowledge of-the intelligible(-things)
ἄγοντα· καθ' ἣν συναγαγοῦσαν πρὸς μὲν ἑαυτῆς τὰς
leading according-to which having-gathered toward indeed herself the
οἰκείας δυνάμεις· πρὸς δὲ τὸν Λόγον, ἑαυτὴν καταντᾷ,
own powers toward and the Word herself he-brings
διὰ τοῦ νοεροῦ ἀσπασμοῦ ἑνώσασαν τοὺς περὶ ἑαυτὴν
through the intellectual kiss having-united the about herself
ἀῤῥήτους τῆς σωτηρίας καὶ λόγους καὶ τρόπους, διὰ τοῦ
ineffable of-the salvation both principles and ways through the
συμβόλου τῆς πίστεως εὐχαρίστως ὁμολογεῖν ἐκδιδάσκοντα.
symbol of-the faith thankfully to-confess teaching
Ἐπὶ τούτοις δὲ πάλιν, ὡς ἤδη λοιπὸν κατὰ
upon these and again as already finally according-to
δύναμιν ἁπλῆν καὶ ἀδιαίρετον διὰ μαθητείας, γνώσει,
power simple and undivided through discipleship by-knowledge
περιλαβοῦσαν τούς τε τῶν αἰσθητῶν καὶ τῶν νοητῶν
having-comprehended the both of-the sensible(-things) and of-the intelligible(-things)
λόγους, ἐπὶ τὴν γνῶσιν τῆς ἐκφανοῦς αὐτὴν ἄγοντα
principles to the knowledge of-the manifest her leading
θεολογίας, μετὰ τὴν πάντων διάβασιν, καὶ τὴν ἴσην τοῖς
theology after the of-all crossing and the equal to-the

ἀγγέλοις κατὰ τὸ ἐφικτὸν αὐτῇ παρεχόμενον νόησιν·
angels according-to the attainable to-her providing understanding
καὶ τοσοῦτον διδάσκοντα σωφρόνως αὐτὴν, ὅσον εἰδέναι
and so-much teaching temperately her as-much-as to-know
Θεὸν ἕνα, μίαν οὐσίαν, ὑποστάσεις τρεῖς· μονάδα οὐσίας
God one one essence hypostases three monad of-essence
τρισυπόστατον, καὶ Τριάδα ὑποστάσεων ὁμοούσιον· μονάδα
three-hypostatic and Trinity of-hypostases consubstantial monad
ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι· οὐκ ἄλλην καὶ ἄλλην, οὐδ᾽
in triad and triad in monad not other and other nor
ἄλλην παρ᾽ ἄλλην, οὐδὲ δι᾽ ἄλλης ἄλλην, οὐδ᾽ ἄλλην ἐν
other beside other nor through other other nor other in
ἄλλῃ. οὐδὲ ἐξ ἄλλης ἄλλην· ἀλλὰ τὴν αὐτὴν ἐν ἑαυτῇ,
other nor from other other but the same in itself
καὶ καθ᾽ ἑαυτὴν ἐφ᾽ ἑαυτὴν. ἑαυτῇ ταὐτὴν καὶ μονάδα καὶ
and by itself upon itself to-itself the-same both monad and
τριάδα ἀσύγχυτόν τε καὶ ἀσυγχύτως τὴν ἕνωσιν ἔχουσαν,
triad unconfused both and unconfusedly the union having
καὶ τὴν διάκρισιν ἀδιαίρετόν τε καὶ ἀμέριστον· μονάδα μὲν
and the distinction undivided both and unpartitioned monad indeed
κατὰ τὸν τῆς οὐσίας, ἤτοι τὸν τοῦ εἶναι λόγον· ἀλλ᾽
according-to the of-the essence that-is the of-the to-be principle but
οὐ κατὰ σύνθεσιν ἢ συναίρεσιν, ἢ τὴν οἱανοῦν σύγχυσιν·
not according-to composition or contraction or the whatever confusion
τριάδα δὲ, κατὰ τὸν τοῦ πῶς ὑπάρχειν καὶ ὑφεστάναι
triad and according-to the of-the how to-exist and to-subsist
λόγον· ἀλλ᾽ οὐ κατὰ διαίρεσιν ἢ ἀλλοτρίωσιν, ἢ τὸν
principle but not according-to division or alienation or the
οἱονοῦν μερισμόν. Οὐ γὰρ μεμέρισται ταῖς ὑποστάσεσιν
whatever partition not for is-divided by-the hypostases
ἡ μονὰς, οὐδὲ σχετικῶς ἔνεστι καὶ ἐπιθεωρεῖται αὐταῖς·
the monad nor relatively is-in and is-contemplated-upon in-them

οὐδὲ συντέθεινται εἰς Μονάδα αἱ ὑποστάσεις, ἢ συναιρέσει
nor are-composed into Monad the hypostases or by-contraction
αὐτὴν ἐκπληροῦσιν· ἀλλὰ τὴν αὐτὴν ἑαυτῇ ταὐτὸν, ἄλλως
it fill-up but the same to-itself the-same otherwise
μέντοι καὶ ἄλλως· μονὰς γάρ ἐστι ἀσύγχυτος τῇ οὐσίᾳ,
however and otherwise monad for is unconfused in-the essence
καὶ τῷ κατ' αὐτὴν ἁπλῷ λόγῳ ἡ ἁγία τριὰς τῶν
and in-the according-to it simple principle the holy triad of-the
ὑποστάσεων· καὶ τριάς ἐστι ταῖς ὑποστάσεσι καὶ τῷ
hypostases and triad is in-the hypostases and in-the
τρόπῳ τῆς ὑπάρξεως ἡ ἁγία μονάς· τὴν αὐτὴν ὅλην
mode of-the existence the holy monad the same whole
τοῦτο κἀκεῖνο διαφόρως, κατ' ἄλλον καὶ ἄλλον, ὡς
this and-that differently according-to other and other as
εἴρηται, λόγον νοουμένην· μίαν καὶ μόνην, ἀδιαίρετόν τε
it-has-been-said principle being-understood one and only undivided both
καὶ ἀσύγχυτον, καὶ ἁπλῆν καὶ ἀμείωτον καὶ ἀπαράλλακτον
and unconfused and simple and undiminished and unvarying
θεότητα· μονάδα κατὰ τὴν οὐσίαν ὅλην ὑπάρχουσαν, καὶ
divinity monad according-to the essence whole being and
ὅλην τριάδα τὴν αὐτὴν ταῖς ὑποστάσεσι, καὶ μίαν. ἑνὸς
whole triad the same in-the hypostases and one of-one
τρισσοφαοῦς ἀκτῖνα φωτὸς μονοειδῶς ἐπιλάμπουσαν· ἐφ'
triple-shining ray of-light single-formedly shining-upon upon
ᾧ καὶ τὴν ψυχὴν, ὁμοτίμως τοῖς ἁγίοις ἀγγέλοις τοὺς
which also the soul equally-in-honor with-the holy angels the
ἐκφανεῖς καὶ ἐφικτοὺς τῇ κτίσει περὶ θεότητος δεξαμένην
manifest and attainable to-the creation about divinity having-received
λόγους, καὶ συμφώνως αὐτοῖς ἀσιγήτως ἀνυμνεῖν μαθοῦσαν
principles and harmoniously with-them unceasingly to-hymn having-learned
τριαδικῶς τὴν μίαν θεότητα, ἐπὶ τὴν κατὰ χάριν δι'
triadically the one divinity to the according-to grace through

ὁμοιότητος ἐμφεροῦς υἱοθεσίαν ἀχθῆναι· δι᾽ ἧς μετ᾽
likeness resembling adoption to-be-led through which after
εὐχὰς τὸν Θεὸν Πατέρα, μυστικόν τε χάριτι καὶ μόνον
prayers — God Father mystical both by-grace and only
ἔχουσα, πρὸς τὸ ἓν τῆς αὐτοῦ κρυφιότητος κατ᾽ ἔκστασιν
having toward the one of-the of-him hiddenness by ecstasy
πάντων συναχθήσεται· καὶ τοσοῦτον πείσεται μᾶλλον, ἢ
from-all will-be-gathered and so-much will-suffer rather than
γνώσεται τὰ θεῖα· ὅσον μὴ ἑαυτῆς εἶναι βούλεσθαι,
will-know the divine(-things) as-much-as not of-herself to-be to-wish
μηδὲ ἐξ ἑαυτῆς ὑφ᾽ ἑαυτῆς ἢ ἄλλου τινὸς γνωσθῆναι
nor from herself by herself or by-other anyone to-be-known
δύνασθαι, ἢ μόνου τοῦ ὅλην ἀγαθοπρεπῶς αὐτὴν
to-be-able than by-only the whole in-a-way-befitting-goodness her
ἀνειληφότος ὅλου Θεοῦ, καὶ ὅλον αὐτῇ θεοπρεπῶς
having-taken-up whole God and whole to-her in-a-way-befitting-God
ὅλῃ [ὅλον αὐτῇ θεοπρεπῶς ὅλως] καὶ ἀπαθῶς ἑαυτὸν
whole whole to-her in-a-way-befitting-God wholly and impassibly himself
ἐνιέντος, καὶ ὅλην θεοποιήσαντος· ὡς εἶναι, καθώς φησιν
having-sent-in and whole having-deified so-as to-be as says
ὁ πανάγιος Ἀρεοπαγίτης Διονύσιος, εἰκόνα καὶ φανέρωσιν
the all-holy Areopagite Dionysius image and manifestation
τοῦ ἀφανοῦς φωτὸς, ἔσοπτρον ἀκραιφνὲς, διειδέστατον,
of-the hidden light mirror pure most-transparent
ἀλώβητον, ἄχραντον, ἀκηλίδωτον, εἰσδεχόμενον ὅλην, εἰ
unimpaired undefiled spotless receiving whole if
θέμις εἰπεῖν, τὴν ὡραιότητα τοῦ ἀγαθοτύπου, θεοειδῶς
lawful to-say the beauty of-the good-formed godlikely
καὶ ἀμειώτως ἐπιλάμπον ἐν ἑαυτῷ, καθάπερ οἷόν τέ
and undiminishedly shining-upon in itself as possible —
ἐστι, τὴν ἀγαθότητα τῆς ἐν ἀδύτοις σιγῆς.
it-is the goodness of-the in sanctuaries silence

The old man urged every Christian never to miss the synaxis, where the Spirit's grace works on each, even unawares. Maximus sums up what each rite works in the faithful, the practical and the knowing, the three ranks of slaves, hirelings, and sons, and urges mercy, which makes a man god by grace. He offers his work like the widow's two mites and asks to be commended to Christ.

24 Τίνων ἐστὶν ἐνεργητική τε καὶ ἀποτελεστικὴ μυστηρίων,
of-what is working both and accomplishing mysteries
διὰ τῶν τελουμένων κατὰ τὴν ἁγίαν σύναξιν θεσμῶν
through the being-celebrated in the holy synaxis ordinances
ἐν τοῖς πιστοῖς καὶ πιστῶς συναγομένοις, ἡ παραμένουσα
in the faithful and faithfully gathered the remaining
τοῦ ἁγίου Πνεύματος χάρις.
of-the holy Spirit grace
Τοιγαροῦν ᾤετο δεῖν ὁ μακάριος γέρων, καὶ παρακαλεῖν
therefore thought it-needful the blessed old-man and to-exhort
οὐκ ἐπαύετο πάντα Χριστιανὸν, τῇ ἁγίᾳ τοῦ Θεοῦ
not ceased every Christian in-the holy — of-God
Ἐκκλησίᾳ σχολάζειν, καὶ μὴ ἀπολιμπάνεσθαί ποτε τῆς
Church to-spend-time and not to-be-absent ever from-the
ἐν αὐτῇ τελουμένης ἁγίας συνάξεως, διά τε τοὺς
in it being-celebrated holy synaxis because-of both the
παραμένοντας αὐτῇ ἁγίους ἀγγέλους, καὶ ἀπογραφομένους
remaining in-it holy angels and recording
ἑκάστοτε τοὺς εἰσιόντας καὶ ἐμφανίζοντας τῷ Θεῷ,
each-time the(-ones) entering and presenting(-them) — to-God
καὶ τὰς ὑπὲρ αὐτῶν δεήσεις ποιουμένους· καὶ διὰ
and the for them supplications making and because-of
τὴν ἀοράτως ἀεὶ μὲν παροῦσαν τοῦ ἁγίου Πνεύματος
the invisibly always indeed present of-the holy Spirit

χάριν, ἰδιοτρόπως δὲ μάλιστο κατὰ τὸν καιρὸν τῆς ἁγίας
grace in-a-special-way and most-of-all in the time of-the holy
συνάξεως, καὶ ἕκαστον τῶν εὑρισκομένων μεταποιοῦσάν
synaxis and each of-the(-ones) being-found transforming
τε καὶ μετασκευάζουσαν, καὶ ἀληθὲς μεταπλάττουσαν
both and refashioning and truly remolding
ἐπὶ τὸ θειότερον ἀναλόγως ἑαυτῷ, καὶ πρὸς τὸ
to the more-divine proportionately to-himself and toward the(-thing)
δηλούμενον διὰ τῶν τελουμένων μυστηρίων ἄγουσαν·
shown through the being-celebrated mysteries leading
κἂν αὐτὸς μὴ αἰσθάνηται, εἴπερ τῶν ἔτι κατὰ Χριστὸν
even-if he not perceive if-indeed of-the still in Christ
νηπίων ἐστί· καὶ εἰς τὸ βάθος τῶν γινομένων
infants he-is and into the depth of-the(-things) happening
ὁρᾷν ἀδυνατεῖ, καὶ τὴν δηλουμένην δι᾽ ἑκάστου τῶν
to-see is-unable and the shown through each of-the
τελουμένων θείων συμβόλων τῆς σωτηρίας ἐν αὐτῷ χάριν
being-celebrated divine symbols of-the salvation in him grace
ἐνεργοῦσαν, καθ᾽ εἱρμὸν καὶ τάξιν ἀπὸ τῶν προσεχῶν
working in sequence and order from the nearest
μέχρι τοῦ πάντων τέλους ὁδεύουσαν.
until the of-all end traveling
Κατὰ μὲν πρώτην εἴσοδον ἀπιστίας ἀποβολὴν, πίστεως
according-to indeed first entrance of-unbelief casting-off of-faith
αὔξησιν, κακίας μείωσιν, ἀρετῆς ἐπίδοσιν, ἀγνοίας
increase of-vice lessening of-virtue advance of-ignorance
ἀφανισμὸν, γνώσεως προσθήκην. Διὰ δὲ τῆς ἀκροάσεως
disappearance of-knowledge addition through and the hearing
τῶν θείων λογίων, τὰς τῶν εἰρημένων τούτων, πίστεώς
of-the divine oracles the of-the said these of-faith
φημι καὶ ἀρετῆς καὶ γνώσεως, παγίας καὶ ἀμεταθέτους
I-mean and of-virtue and of-knowledge firm and unchangeable

ἕξεις τε καὶ διαθέσεις. Διὰ δὲ τῶν ἐπὶ τούτοις θείων
habits both and dispositions through and the upon these divine
ᾀσμάτων, τὴν πρὸς τὰς ἀρετὰς τῆς ψυχῆς ἑκούσιον
songs the toward the virtues of-the soul voluntary
συγκατάθεσιν, καὶ τὴν ἐπ᾽ αὐταῖς ἐγγινομένην αὐτῇ νοερὰν
assent and the upon them arising in-her intellectual
ἡδονὴν καὶ τερπνότητα. Διὰ δὲ τῆς ἱερᾶς ἀναγνώσεως
pleasure and delight through and the sacred reading
τοῦ ἁγίου Εὐαγγελίου, τὴν τοῦ χοϊκοῦ φρονήματος, ὥσπερ
of-the holy Gospel the of-the earthy mind as-it-were
αἰσθητοῦ κόσμου, συντέλειαν. Διὰ δὲ τῆς μετὰ ταῦτα
sensible world consummation through and the after these
τῶν θυρῶν κλείσεως, τὴν κατὰ διάθεσιν ἀπὸ τούτου
of-the doors closing the according-to disposition from this
τοῦ φθαρτοῦ κόσμου πρὸς τὸν νοητὸν κόσμον μετάβασιν
the corruptible world toward the intelligible world passing
τῆς ψυχῆς καὶ μετάθεσιν· δι᾽ ἧς τὰς αἰσθήσεις,
of-the soul and change through which the senses
θυρῶν δίκην, μύσασα, τῶν καθ᾽ ἁμαρτίαν εἰδώλων
doors like having-shut from-the according-to sin idols
καθαρὰς ἀπεργάζεται. Διὰ δὲ τῆς εἰσόδου τῶν ἁγίων
pure it-renders through and the entrance of-the holy
μυστηρίων, τὴν τελειωτέραν καὶ μυστικωτέραν καὶ καινὴν
mysteries the more-perfect and more-mystical and new
περὶ τὴν εἰς ἡμᾶς οἰκονομίαν τοῦ Θεοῦ διδασκαλίαν καὶ
about the toward us dispensation — of-God teaching and
γνῶσιν. Διὰ δὲ τοῦ θείου ἀσπασμοῦ, τὴν πάντων πρὸς
knowledge through and the divine kiss the of-all toward
πάντας καὶ πρὸς ἑαυτὸν ἑκάστου πρότερον καὶ τὸν Θεὸν,
all and toward himself of-each first and — God
ὁμονοίας καὶ ὁμογνωμοσύνης καὶ ἀγάπης ταυτότητα. Διὰ
of-concord and of-like-mindedness and of-love identity through

δὲ τῆς τοῦ συμβόλου τῆς πίστεως ὁμολογίας, τὴν ἐπὶ
and the of-the symbol of-the faith confession the for
τοῖς παραδόξοις τρόποις τῆς σωτηρίας ἡμῶν πρόσφορον
the paradoxical ways of-the salvation of-us fitting
εὐχαριστίαν. Διὰ δὲ τοῦ Τρισαγίου, τὴν πρὸς τοὺς ἁγίους
thanksgiving through and the Thrice-Holy the toward the holy
ἀγγέλους ἕνωσίν τε καὶ ἰσοτιμίαν, καὶ τὴν ἄπαυστον
angels union both and equality-of-honor and the unceasing
τῆς ἁγιαστικῆς δοξολογίας τοῦ Θεοῦ σύμφωνον εὐτονίαν.
of-the sanctifying doxology — of-God harmonious vigor
Διὰ δὲ τῆς προσευχῆς, δι' ἧς Πατέρα καλεῖν τὸν
through and the prayer through which Father to-call —
Θεὸν ἀξιούμεθα, τὴν ἐν χάριτι τοῦ ἁγίου Πνεύματος
God we-are-deemed-worthy the in grace of-the holy Spirit
ἀληθεστάτην υἱοθεσίαν. Διὰ δὲ τοῦ, Εἷς Ἅγιος, καὶ
truest adoption through and the one Holy and
τῶν ἑξῆς, τὴν πρὸς αὐτὸν τὸν Θεὸν ἑνοποιὸν χάριν
the(-things) following the toward him — God unifying grace
καὶ οἰκειότητα. Διὰ δὲ τῆς ἁγίας μεταλήψεως τῶν
and kinship through and the holy partaking of-the
ἀχράντων καὶ ζωοποιῶν μυστηρίων, τὴν πρὸς αὐτὸν
undefiled and life-giving mysteries the toward him
κατὰ μέθεξιν ἐνδεχομένην δι' ὁμοιότητος κοινωνίαν τε
by participation possible through likeness communion both
καὶ ταυτότητα· δι' ἧς γενέσθαι θεὸς ἐξ ἀνθρώπου
and identity through which to-become god from man
καταξιοῦται ὁ ἄνθρωπος. Ὧν γὰρ ἐνταῦθα κατὰ τὴν
is-deemed-worthy the man of-which for here in the
παροῦσαν ζωὴν, διὰ τῆς ἐν πίστει χάριτος, πιστεύομεν
present life through the in faith grace we-believe
μετειληφέναι δωρεῶν τοῦ ἁγίου Πνεύματος, τούτων ἐν
to-have-partaken gifts of-the holy Spirit of-these in

τῷ μέλλοντι αἰῶνι κατὰ ἀλήθειαν ἐνυποστάτως αὐτῷ τῷ
the coming age in truth hypostatically in-very the
πράγματι, κατὰ τὴν ἄπτωτον ἐλπίδα τῆς πίστεως ἡμῶν,
reality according-to the unfalling hope of-the faith of-us
καὶ τὴν τοῦ ἐπαγγειλομένου βεβαίαν καὶ ἀπαράβατον
and the of-the(-one) having-promised firm and inviolable
ὑπόσχεσιν, φυλάξαντες κατὰ δύναμιν τὰς ἐντολὰς,
promise having-kept according-to power the commandments
πιστεύομεν καταλήψεσθαι, μεταβαίνοντες ἀπὸ τῆς ἐν
we-believe to-be-going-to-attain passing from the in
πίστει χάριτος, εἰς τὴν κατ᾽ εἶδος χάριν· μεταποιοῦντος
faith grace into the according-to sight grace transforming
ἡμᾶς πρὸς ἑαυτὸν δηλαδὴ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν
us toward himself plainly — God and Savior of-us
Ἰησοῦ Χριστοῦ· τῇ περιαιρέσει τῶν ἐν ἡμῖν τῆς φθορᾶς
Jesus Christ by-the removal of-the in us of-the corruption
γνωρισμάτων, καὶ τὰ παραδειχθέντα διὰ τῶν ἐνταῦθα
marks and the shown-beforehand through the here
αἰσθητῶν συμβόλων ἡμῖν ἀρχέτυπα χαριζομένου μυστήρια.
sensible symbols to-us archetypal granting mysteries
Διὰ δὲ τὸ εὐμνημόνευτον, εἰ δοκεῖ, τὴν τῶν εἰρημένων
because-of and the easily-remembered if it-seems-good the of-the said(-things)
δύναμιν κατ᾽ ἐπιτομὴν ἐπιδραμόντες, οὕτω κεφαλαιώσωμεν.
power in summary having-run-over thus let-us-summarize
Ἔστι μὲν οὖν ἡ ἁγία Ἐκκλησία τύπος, ὡς εἴρηται,
is indeed then the holy Church type as it-has-been-said
καὶ εἰκὼν, τοῦ μὲν Θεοῦ· διότι ἣν ἐργάζεται κατὰ τὴν
and image — indeed of-God because which it-works according-to the
ἄπειρον αὐτοῦ δύναμιν καὶ σοφίαν, περὶ τὰς διαφόρους
infinite of-him power and wisdom about the different
τῶν ὄντων οὐσίας ἀσύγχυτον ἕνωσιν, ὡς δημιουργὸς
of-the(-things) being essences unconfused union as creator

κατ᾽ ἄκρον ἑαυτῷ συνέχων· καὶ κατὰ μίαν τῆς πίστεως
at highest to-himself holding-together and according-to one of-the faith
καὶ χάριν καὶ κλῆσιν τοὺς πιστοὺς ἀλλήλοις ἑνοειδῶς
both grace and calling the faithful to-one-another uniformly
συνάπτουσα· τοὺς δὲ πρακτικοὺς καὶ ἐναρέτους, κατὰ μίαν
joining the and practical(-ones) and virtuous according-to one
γνώμης ταυτότητα· τοὺς δὲ θεωρητικοὺς καὶ γνωστικοὺς
of-will identity the and contemplative(-ones) and knowing(-ones)
πρὸς τούτοις καὶ καθ᾽ ὁμόνοιαν ἀῤῥαγῆ καὶ ἀδιαίρετον.
besides these also according-to concord unbroken and undivided
Τοῦ δὲ κόσμου, τοῦ τε νοητοῦ καὶ τοῦ αἰσθητοῦ τύπος
of-the and world of-the both intelligible and of-the sensible type
ἐστίν· ὡς τοῦ νοητοῦ κόσμου τὸ ἱερατεῖον σύμβολον
it-is as of-the intelligible world the sanctuary symbol
ἔχουσα· τοῦ αἰσθητοῦ δὲ, τὸν ναόν.
having of-the sensible and the nave
Ἀνθρώπου δὲ πάλιν εἰκών ἐστιν, ὡς τὴν ψυχὴν διὰ
of-man and again image it-is as the soul through
τοῦ ἱερατείου μιμουμένη· τὸ δὲ σῶμα, διὰ τοῦ ναοῦ
the sanctuary imitating the and body through the nave
προβαλλομένη. Αὐτῆς δὲ τῆς ψυχῆς καθ᾽ ἑαυτὴν νοουμένης
putting-forward of-very and the soul by itself being-understood
τύπος ἐστὶ καὶ εἰκὼν, ὡς τοῦ θεωρητικοῦ διὰ τοῦ
type it-is and image as of-the contemplative(-part) through the
ἱερατείου φέρουσα τὸ ἐπίδοξον· τοῦ δὲ πρακτικοῦ διὰ
sanctuary bearing the glory of-the and practical(-part) through
τοῦ ναοῦ τὸ κόσμιον ἔχουσα.
the nave the order having
Τῆς δὲ τελουμένης ἐν αὐτῇ ἁγίας συνάξεως, ἡ μὲν πρώτη
of-the and being-celebrated in it holy synaxis the indeed first
εἴσοδος γενικῶς μὲν δηλοῖ τὴν πρώτην τοῦ Θεοῦ ἡμῶν
entrance generally indeed shows the first — of-God of-us

παρουσίαν· ἰδικῶς δὲ, τὴν δι᾽ αὐτοῦ καὶ σὺν αὐτῷ
presence particularly and the through him and with him
τῶν ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἀπὸ κακίας εἰς ἀρετὴν,
of-the(-ones) from unbelief into faith and from vice into virtue
καὶ ἀπὸ ἀγνωσίας εἰς γνῶσιν εἰσαγομένων ἐπιστροφήν.
and from ignorance into knowledge being-brought-in turning
Τὰ δὲ γινόμενα μετ᾽ αὐτὴν ἀναγνώσματα, γενικῶς μὲν, τὰ
the and happening after it readings generally indeed the
θεῖα θελήματά τε καὶ βουλήματα, καθ᾽ ἃ χρὴ τοὺς
divine wills both and purposes according-to which it-is-needful the
πάντας παιδεύεσθαί τε καὶ πολιτεύεσθαι, μηνύει· ἰδικῶς δὲ,
all to-be-instructed both and to-live declares particularly and
τὴν κατὰ τὴν πίστιν διδασκαλίαν καὶ προκοπὴν τῶν
the according-to the faith teaching and progress of-the(-ones)
πιστευσάντων· καὶ τῶν πρακτικῶν τὴν κατ᾽ ἀρετὴν
having-believed and of-the practical(-ones) the according-to virtue
παγίαν διάθεσιν· καθ᾽ ἣν τῷ θείῳ νόμῳ στοιχοῦντες
firm disposition according-to which to-the divine law keeping-in-line
τῶν ἐντολῶν ἀνδρικῶς τε καὶ ἀκλονήτως ἵστανται πρὸς
of-the commandments manfully both and unshakably they-stand against
τὰς μεθοδείας τοῦ διαβόλου, καὶ τὰς ἀντικειμένας ἐνεργείας
the schemes of-the devil and the opposing activities
διαδιδράσκουσι· καὶ τῶν γνωστικῶν τὴν κατὰ θεωρίαν
escape and of-the knowing(-ones) the according-to contemplation
ἕξιν· καθ᾽ ἣν τοὺς τῶν αἰσθητῶν καὶ τῆς ἐπ᾽ αὐτοῖς
habit according-to which the of-the sensible(-things) and of-the upon them
προνοίας πνευματικοὺς κατὰ δύναμιν συλλεγόμενοι
providence spiritual according-to power gathering
λόγους, ἁπλανῶς πρὸς τὴν ἀλήθειαν φέρονται.
principles unerringly toward the truth are-borne

Τὰ δὲ θεῖα τῶν ᾀσμάτων μελίσματα, τὴν ἐγγινομένην ταῖς
the and divine of-the songs melodies the arising in-the
ἁπάντων ψυχαῖς θείαν ἡδονὴν καὶ τερπνότητα· καθ' ἣν
of-all souls divine pleasure and delight according-to which
μυστικῶς ῥωννύμεναι, τῶν μὲν παρελθόντων τῆς ἀρετῆς
mystically being-strengthened the indeed past of-the virtue
ἐπιλανθάνονται πόνων· πρὸς δὲ τὴν τῶν λειπομένων
forget labors toward and the of-the remaining
θείων καὶ ἀκηράτων ἀγαθῶν, νεάζουσι εὔτονον ἔφεσιν.
divine and pure goods grow-young vigorous desire
Τὸ δὲ ἅγιον Εὐαγγέλιον, γενικῶς μὲν σύμβολόν ἐστι τῆς
the and holy Gospel generally indeed symbol is of-the
συντελείας τοῦ αἰῶνος τούτου· ἰδικῶς δὲ, τῶν μὲν
consummation of-the age this particularly and of-the(-ones) indeed
πιστευσάντων δηλοῖ τὸν παντελῆ τῆς ἀρχαίας πλάνης
having-believed shows the complete of-the ancient error
ἀφανισμόν· τῶν δὲ πρακτικῶν, τὴν νέκρωσιν καὶ
disappearance of-the(-ones) and practical the mortification and
συντέλειαν τοῦ κατὰ σάρκα νόμου τε καὶ φρονήματος·
consummation of-the according-to flesh law both and mind
τῶν δὲ γνωστικῶν, τὴν πρὸς τὸν συνεκτικώτατον
of-the(-ones) and knowing the toward the most-comprehensive
λόγον τῶν πολλῶν καὶ διαφόρων λόγων συναγωγήν τε
principle of-the many and different principles gathering both
καὶ ἀναφοράν, συντελεσθείσης αὐτοῖς καὶ περατωθείσης
and reference having-been-consummated for-them and having-been-ended
τῆς διεξοδικωτέρας καὶ ποικιλωτέρας φυσικῆς θεωρίας.
of-the more-detailed and more-varied natural contemplation
Ἡ δὲ τοῦ ἀρχιερέως ἀπὸ τοῦ θρόνου κατάβασις, καὶ
the and of-the high-priest from the throne descent and
ἡ τῶν κατηχουμένων ἐκβολὴ, γενικῶς μὲν σημαίνει τὴν
the of-the catechumens expulsion generally indeed signifies the

ἀπ᾽ οὐρανοῦ δευτέραν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος
from heaven second of-the great God and Savior
ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν, καὶ τὸν ἀπὸ τῶν ἁγίων
of-us Jesus Christ presence and the from the saints
ἀφορισμὸν τῶν ἁμαρτωλῶν· καὶ τὴν δικαίαν πρὸς
separation of-the sinners and the just according-to
τὴν ἑκάστου ἀξίαν ἀμοιβήν· ἰδικῶς δὲ, τὴν τελείαν ἐν
the of-each worth recompense particularly and the perfect in
πίστει τῶν πιστευσάντων πληροφορίαν, ἣν ποιεῖ
faith of-the(-ones) having-believed assurance which makes
παραγινόμενος ἀοράτως ὁ Θεὸς καὶ Λόγος· δι᾽ ἧς πᾶς
arriving invisibly — God and Word through which every
ἔτι καθ᾽ ὁτιοῦν σκάζων κατὰ τὴν πίστιν λογισμὸς
still in anything-whatever limping in the faith thought
κατηχουμένου τρόπον, αὐτῶν ἀπελαύνεται· τῶν δὲ
of-catechumen like from-them is-driven-away of-the(-ones) and
πρακτικῶν, τὴν τελείαν ἀπάθειαν, δι᾽ ἧς πᾶς ἐμπαθὴς
practical the perfect dispassion through which every passionate
καὶ ἀφώτιστος λογισμὸς τῆς ψυχῆς ἀπογίνεται· τῶν
and unilluminated thought from-the soul departs of-the(-ones)
δὲ γνωστικῶν, τὴν συνεκτικὴν ἐπιστήμην τῶν
and knowing the comprehensive knowledge of-the(-things)
ἐπεγνωσμένων· δι᾽ ἧς πᾶσαι τῶν ὑλικῶν αἱ εἰκόνες
having-been-known through which all of-the material(-things) the images
τῆς ψυχῆς ἐκδιώκονται.
from-the soul are-driven-out
Ἡ δὲ κλεῖσις τῶν θυρῶν, καὶ ἡ τῶν ἁγίων μυστηρίων
the and closing of-the doors and the of-the holy mysteries
εἴσοδος, καὶ ὁ θεῖος ἀσπασμὸς, καὶ ἡ τοῦ συμβόλου τῆς
entrance and the divine kiss and the of-the symbol of-the
πίστεως ἐκφώνησις, γενικῶς μὲν δηλοῖ τὴν τῶν αἰσθητῶν
faith proclamation generally indeed shows the of-the sensible(-things)

πάροδον, καὶ τὴν τῶν νοητῶν φανέρωσιν, καὶ τὴν
passing and the of-the intelligible(-things) manifestation and the
καινὴν τοῦ περὶ ἡμᾶς θείου μυστηρίου διδαχὴν, καὶ τὴν
new of-the about us divine mystery teaching and the
πρὸς πάντας πάντων ἑαυτούς τε καὶ τὸν Θεὸν γενησομένην
toward all of-all themselves both and — God going-to-happen
ὁμονοίας καὶ ὁμογνωμοσύνης καὶ ἀγάπης ταυτότητα, καὶ
of-concord and of-like-mindedness and of-love identity and
τὴν ἐφ᾽ οἷς ἐσώθημεν τρόποις εὐχαριστίαν· ἰδικῶς δὲ,
the for which we-were-saved ways thanksgiving particularly and
τῶν μὲν πιστῶν τὴν ἀπὸ τῆς ἁπλῆς πίστεως εἰς
of-the(-ones) indeed faithful the from the simple faith into
τὴν ἐν δόγμασι διδαχὴν καὶ μύησιν, καὶ ὁμοφωνίαν καὶ
the in doctrines teaching and initiation and harmony and
εὐσέβειαν, προκοπήν· τὸ γὰρ πρῶτον, ἡ τῶν θυρῶν
piety progress the for first the of-the doors
δηλοῖ κλεῖσις. Τὸ δεύτερον δὲ, ἡ τῶν ἁγίων εἴσοδος· τὸ
shows closing the second and the of-the holy(-things) entrance the
δὲ τρίτον, ὁ ἀσπασμός· καὶ τὸ τέταρτον, ἡ ἐκφώνησις
and third the kiss and the fourth the proclamation
τοῦ σοβόλου· τῶν δὲ πρακτικῶν, τὴν ἀπὸ πράξεως
of-the symbol of-the(-ones) and practical the from action
εἰς θεωρίαν μυσάντων τὰς αἰσθήσεις καὶ ἔξω σαρκὸς
into contemplation having-shut the senses and outside flesh
καὶ κόσμου γενομένων διὰ τῆς ἀποβολῆς τῶν κατ᾽
and world having-come-to-be through the casting-off of-the according-to
αὐτὰς ἐνεργειῶν, μετάθεσιν, καὶ τὴν ἀπὸ τοῦ τρόπου τῶν
them activities change and the from the mode of-the
ἐντολῶν εἰς τὸν λόγον αὐτῶν ἀνάβασιν· καὶ τὴν αὐτῶν
commandments into the principle of-them ascent and the of-them
τῶν ἐντολῶν κατὰ τοὺς οἰκείους λόγους συγγενῆ πρὸς
of-the commandments according-to the own principles akin toward

τὰς δυνάμεις τῆς ψυχῆς οἰκειότητά τε καὶ ἕνωσιν, καὶ
the powers of-the soul kinship both and union and
τὴν πρὸς θεολογικὴν εὐχαριστίαν ἐπιτήδειον ἕξιν· τῶν
the toward theological thanksgiving fit habit of-the(-ones)
δὲ γνωστικῶν, τὴν ἀπὸ τῆς φυσικῆς θεωρίας εἰς τὴν τῶν
and knowing the from the natural contemplation into the of-the
νοητῶν ἁπλῆν κατανόησιν· καθ' ἣν οὐδαμῶς δι'
intelligible(-things) simple understanding according-to which in-no-way through
αἰσθήσεως ἢ τινος τῶν φαινομένων ἔτι τὸν θεῖον καὶ
sense or something of-the appearing(-things) still the divine and
ἄῤῥητον μεταδιώκουσι λόγον· καὶ τὴν πρὸς τὴν ψυχὴν τῶν
ineffable pursue word and the toward the soul of-the
αὐτῆς δυνάμεων ἕνωσιν, καὶ τὴν κατὰ νοῦν ἑνοειδῶς
of-it powers union and the according-to mind uniformly
συλλαμβάνουσαν τὸν τῆς προνοίας λόγον ἁπλότητα.
comprehending the of-the providence principle simplicity
Ἡ δὲ τοῦ Τρισαγίου ἄπαυστος τῶν ἁγίων ἀγγέλων
the and of-the Thrice-Holy unceasing of-the holy angels
ἁγιαστικὴ δοξολογία, γενικῶς μὲν σημαίνει τὴν ἅμα τε
sanctifying doxology generally indeed signifies the together both
καὶ ἐν ταὐτῷ γενησομένην κατὰ τὸν αἰῶνα τὸν μέλλοντα
and in the-same going-to-happen in the age the coming
τῶν οὐρανίων καὶ ἐπιγείων δυνάμεων ἴσην καὶ πολιτείαν
of-the heavenly and earthly powers equal both way-of-life
καὶ ἀγωγὴν καὶ συμφωνίαν τῆς θείας δοξολογίας,
and conduct and harmony of-the divine doxology
ἀθανατισθέντος τοῖς ἀνθρώποις τοῦ σώματος διὰ
having-been-made-immortal for-the men the body through
τῆς ἀναστάσεως, καὶ μηκέτι βαροῦντος τὴν ψυχὴν τῇ
the resurrection and no-longer weighing-down the soul with-the
φθορᾷ, καὶ βαρουμένου· ἀλλὰ διὰ τῆς εἰς ἀφθαρσίαν
corruption and being-weighed-down but through the into incorruption

ἀλλαγῆς πρὸς ὑποδοχὴν παρουσίας Θεοῦ λαβόντος καὶ
change for reception of-presence of-God having-received both
δύναμιν καὶ ἐπιτηδειότητα· ἰδικῶς δὲ, τῶν μὲν
power and fitness particularly and of-the(-ones) indeed
πιστῶν τὴν πρὸς ἀγγέλους κατὰ τὴν πίστιν θεολογικὴν
faithful the toward angels according-to the faith theological
ἅμιλλαν· τῶν δὲ πρακτικῶν, τὴν ἰσάγγελον, ὡς
rivalry of-the(-ones) and practical the angel-equal as
ἐφικτὸν ἀνθρώποις, κατὰ τὸν βίον λαμπρότητα, καὶ
attainable to-men according-to the life brightness and
τὴν εὐτονίαν τῆς θεολογικῆς ὑμνολογίας· τῶν δὲ
the vigor of-the theological hymnody of-the(-ones) and
γνωστικῶν, τὰς ἰσαγγέλους κατὰ τὸ δυνατὸν ἀνθρώποις
knowing the angel-equal according-to the possible to-men
περὶ θεότητος νοήσεις τε καὶ ὑμνήσεις καὶ ἀεικινησίας.
about divinity understandings both and hymnings and ever-movement
Ἡ δὲ μακαρία τοῦ μεγάλου Θεοῦ καὶ Πατρὸς ἐπίκλησις, καὶ
the and blessed of-the great God and Father invocation and
ἡ τοῦ, Εἷς ἅγιος, καὶ τῶν ἑξῆς ἐκφώνησις· καὶ ἡ τῶν
the of-the one holy and of-the(-things) following proclamation and the of-the
ἁγίων καὶ ζωοποιῶν μυστηρίων μετάληψις, τὴν ἐπὶ πᾶσι
holy and life-giving mysteries partaking the upon all
καὶ ἐπὶ πάντων τῶν ἀξίων ἐσομένην διὰ τὴν ἀγαθότητα
and upon all the worthy going-to-be because-of the goodness
τοῦ Θεοῦ ἡμῶν υἱοθεσίαν, ἕνωσίν τε καὶ οἰκειότητα, καὶ
— of-God of-us adoption union both and kinship and
ὁμοιότητα θείαν καὶ θέωσιν δηλοῖ· δι᾽ ἧς πάντα ἐν πᾶσιν
likeness divine and deification shows through which all(-things) in all
ἔσται τοῖς σωζομένοις αὐτὸς ὁ Θεὸς, ὁμοίως· ὡς κάλλος
will-be to-the(-ones) being-saved he — God likewise as beauty

ἀρχέτυπον κατ᾽ αἰτίαν ἐμπρέπων τοῖς αὐτῷ δι᾽
archetypal by cause being-conspicuous among-the(-ones) to-him through
ἀρετῆς καὶ γνώσεως κατὰ χάριν ὁμοίως συμπρέπουσι.
virtue and knowledge according-to grace likewise being-conspicuous-with
Πιστοὺς δὲ καὶ ἐναρέτους καὶ γνωστικοὺς ἐκάλει, τοὺς
faithful and and virtuous and knowing he-called the(-ones)
εἰσαγομένους καὶ τοὺς προκόπτοντας καὶ τοὺς τελείους,
being-brought-in and the(-ones) advancing and the perfect
ἤγουν δούλους καὶ μισθίους καὶ υἱούς· τὰς τρεῖς τάξεις
that-is slaves and hirelings and sons the three ranks
τῶν σωζομένων. Δοῦλοι γάρ εἰσι, πιστοὶ, οἱ
of-the(-ones) being-saved slaves for are faithful the(-ones)
φόβῳ τῶν ἠπειλημένων ἐκπληροῦντες τοῦ δεσπότου
by-fear of-the(-things) threatened fulfilling of-the master
τὰς ἐντολὰς, καὶ τοῖς πιστευθεῖσιν εὐνοϊκῶς
the commandments and on-the(-things) entrusted well-disposedly
ἐπεργαζόμενοι· μίσθιοι δὲ, οἱ πόθῳ τῶν ἐπηγγελμένων
working hirelings and the(-ones) by-longing for-the promised
ἀγαθῶν βαστάζοντες μεθ᾽ ὑπομονῆς τὸ βάρος τῆς ἡμέρας
goods bearing with endurance the weight of-the day
καὶ τὸν καύσονα· τουτέστι, τὴν ἔμφυτον καὶ συνεζευγμένην
and the heat that-is the inborn and yoked
τῇ παρούσῃ ζωῇ ἐκ τῆς προπατορικῆς καταδίκης θλίψιν,
to-the present life from the ancestral condemnation affliction
καὶ τοὺς ἐπ᾽ αὐτῇ ὑπὲρ τῆς ἀρετῆς πειρασμούς· καὶ ζωῆς
and the upon it for the virtue temptations and for-life
ζωὴν σοφῶς κατ᾽ αὐθαίρετον γνώμην ἀνταλλάσσοντες,
life wisely according-to self-chosen will exchanging
τῆς παρούσης τὴν μέλλουσαν. Υἱοὶ δὲ, οἱ μήτε
of-the present the coming sons and the(-ones) neither
φόβῳ τῶν ἠπειλημένων, μήτε πόθῳ τῶν
by-fear of-the(-things) threatened nor by-longing for-the(-things)

ἐπηγγελμένων, ἀλλὰ τρόπῳ καὶ ἕξει τῆς πρὸς τὸ καλὸν
promised but by-mode and habit of-the toward the good
κατὰ γνώμην τῆς ψυχῆς ῥοπῆς τε καὶ διαθέσεως,
according-to will of-the soul inclination both and disposition
μηδέποτε τοῦ Θεοῦ χωριζόμενοι· κατ' ἐκεῖνον τὸν
never — from-God being-separated according-to that the
υἱὸν, πρὸς ὃν εἴρηται, Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ
son to whom it-has-been-said child you always with me
εἶ, καὶ τὰ ἐμὰ πάντα σά ἐστι· τοῦτο κατὰ τὴν
are and the my(-things) all yours is this according-to the
ἐν χάριτι θέσιν ἐνδεχομένως ὑπάρχοντες, ὅπερ ὁ Θεὸς
in grace adoption possibly being what — God
κατὰ τὴν φύσιν καὶ αἰτίαν καὶ ἔστι καὶ πιστεύεται.
according-to the nature and cause both is and is-believed
Μὴ τοίνυν ἀπολειφθῶμεν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας,
not therefore let-us-be-absent from-the holy — of-God Church
τοσαῦτα κατὰ τὴν τῶν τελουμένων θείων συμβόλων
so-many according-to the of-the being-celebrated divine symbols
ἁγίαν διάταξιν τῆς σωτηρίας ἡμῶν περιεχούσης μυστήρια,
holy ordinance of-the salvation of-us containing mysteries
δι' ὧν ἕκαστον ἡμῶν καλῶς μάλιστα πολιτευόμενον
through which each of-us well most-of-all living
ἀναλόγως ἑαυτῷ κατὰ Χριστὸν δημιουργοῦσα, τὸ
proportionately to-himself according-to Christ creating the
δοθὲν διὰ τοῦ ἁγίου βαπτίσματος ἐν Πνεύματι ἁγίῳ
given through the holy baptism in Spirit holy
χάρισμα τῆς υἱοθεσίας, εἰς φανέρωσιν ἄγει κατὰ
gift of-the adoption into manifestation she-leads according-to
Χριστὸν πολιτευόμενον· ἀλλὰ πάσῃ δυνάμει τε καὶ σπουδῇ
Christ living but with-all power both and zeal
παραστήσωμεν ἑαυτοὺς ἀξίους τῶν θείων χαρισμάτων, δι'
let-us-present ourselves worthy of-the divine gifts through

ἔργων ἀγαθῶν εὐαρεστοῦντας τῷ Θεῷ· μὴ ἀναστρεφόμενοι
works good pleasing — to-God not conducting-ourselves
κατὰ τὰ ἔθνη, τὰ μὴ εἰδότα Θεὸν, ἐν πάθει ἐπιθυμίας·
according-to the nations the not knowing God in passion of-desire
ἀλλὰ, καθὼς φησιν ὁ ἅγιος Ἀπόστολος, Νεκρώσαντες
but as says the holy Apostle having-put-to-death
τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν,
the members the upon the earth fornication uncleanness
πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν
passion desire evil and the covetousness which is
εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ ἐπὶ τοὺς
idolatry because-of which comes the wrath upon the
υἱοὺς τῆς ἀπειθείας· ὀργήν τε πᾶσαν, καὶ θυμὸν καὶ
sons of-the disobedience anger both all and temper and
αἰσχρολογίαν καὶ ψεῦδος· καὶ, συντόμως εἰπεῖν, πάντα τὸν
foul-speech and falsehood and briefly to-say all the
παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας
old man the being-corrupted according-to the desires
τῆς ἀπάτης, ἀποθέμενοι σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς
of-the deceit having-put-off with the deeds of-him and the
ἐπιθυμίαις, ἀξίως τοῦ Θεοῦ περιπατήσωμεν, τοῦ καλέσαντος
desires worthily — of-God let-us-walk of-the having-called
ἡμᾶς εἰς τὴν αὐτοῦ βασιλείαν καὶ δόξαν· ἐνδυσάμενοι
us into the of-him kingdom and glory having-put-on
σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην,
bowels of-compassion kindness humility
πραῦτητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ,
meekness long-suffering bearing-with one-another in love
καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφὴν,
and forgiving ourselves if anyone against anyone have complaint
καθὼς καὶ ὁ Κύριος ἐχαρίσατο ἡμῖν, ἐπὶ πᾶσί τε τὸν
as also the Lord forgave us upon all both the

σύνδεσμον τελειότητος, τὴν ἀγάπην καὶ τὴν εἰρήνην, εἰς ἣν
bond of-perfection the love and the peace into which
καὶ ἐκλήθημεν ἐν ἑνὶ σώματι· καὶ, ἵνα συνελὼν εἴπω, τὸν
also we-were-called in one body and that summarizing I-may-say the
νέον ἄνθρωπον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ'
new man the being-renewed into knowledge according-to
εἰκόνα τοῦ κτίσαντος αὐτόν. Οὕτω γὰρ ἂν βιοῦντες,
image of-the(-one) having-created him thus for — living
δυνηθείημεν πρὸς τὸ τέλος ἐλθεῖν τῶν θείων ἐπαγγελιῶν,
we-might-be-able to the end to-come of-the divine promises
μετ' ἐλπίδος ἀγαθῆς πληρωθῆναί τε τὴν ἐπίγνωσιν τοῦ
with hope good to-be-filled both the knowledge of-the
θελήματος αὐτοῦ, καὶ πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ
will of-him and in-all wisdom and understanding spiritual
καρποφοροῦντες, καὶ αὐξανόμενοι τῇ ἐπιγνώσει Κυρίου·
bearing-fruit and growing in-the knowledge of-(the)-Lord
ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς
in all power being-empowered according-to the might of-the
δόξης αὐτοῦ, εἰς πᾶσαν οἰκοδομὴν καὶ μακροθυμίαν μετὰ
glory of-him to all edification and long-suffering with
χαρᾶς, εὐχαριστοῦντες τῷ Πατρὶ, τῷ ἱκανώσαντι ἡμᾶς
joy giving-thanks to-the Father the having-made-sufficient us
εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί.
for the portion of-the lot of-the saints in the light
Σαφὴς δὲ τῆς χάριτος ταύτης ἐστὶν ἀπόδειξις, ἡ πρὸς τὸ
clear and of-the grace this is proof the toward the
συγγενὲς δι' εὐνοίας ἑκούσιος συνδιάθεσις· ἧς ἔργον ἐστὶν,
kindred through goodwill voluntary sympathy whose work is
ὡς Θεὸν, οἰκειοῦσθαι κατὰ δύναμιν τὸν καθ' ὁτιοῦν
as God to-make-one's-own according-to power the in anything-whatever
τῆς ἡμῶν ἐπικουρίας δεόμενον ἄνθρωπον· καὶ μὴ ἐᾷν
of-the our help needing man and not to-allow

ἀτημέλητον καὶ ἀπρονόητον· ἀλλὰ σπουδῇ τῇ πρεπούσῃ
uncared-for and unprovided-for but with-zeal the fitting
κατ᾽ ἐνέργειαν ἐνδείκνυσθαι ζῶσαν τὴν ἐν ἡμῖν πρός τε
in act to-show living the in us toward both
τὸν Θεὸν καὶ τὸν πλησίον διάθεσιν. Ἔργον γὰρ ἀπόδειξις
— God and the neighbor disposition work for proof
διαθέσεως. Οὐδὲν γὰρ οὔτε πρὸς δικαιοσύνην οὕτω ῥᾴδιόν
of-disposition nothing for neither toward righteousness so easy
ἐστιν, οὔτε πρὸς θέωσιν (ἵν᾽ οὕτως εἴπω) καὶ τὴν πρὸς
is nor toward deification that thus I-may-say and the toward
Θεὸν ἐγγύτητα καθέστηκεν ἐπιτήδειον, ὡς ἔλεος ἐκ ψυχῆς
God nearness has-become fit as mercy from soul
εἰς τοὺς δεομένους μεθ᾽ ἡδονῆς καὶ χαρᾶς προσφερόμενος.
to the(-ones) needing with pleasure and joy offered
Εἰ γὰρ Θεὸν ὁ Λόγος τὸν εὖ παθεῖν δεόμενον ἔδειξεν.
if for God the Word the(-one) well to-be-treated needing showed
Ἐφ᾽ ὅσον γὰρ ἐποιήσατε, φησὶν, ἑνὶ τούτων τῶν
on as-much-as for you-did he-says to-one of-these the
ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· Θεὸς δὲ ὁ εἰπὼν, πολλῷ
least to-me you-did God and the(-one) having-said by-much
μᾶλλον τὸν εὖ ποιεῖν δυνάμενον καὶ ποιοῦντα, δείξει
rather the(-one) well to-do being-able and doing will-show
ἀληθῶς κατὰ χάριν καὶ μέθεξιν ὄντα Θεὸν, ὡς τὴν
truly according-to grace and participation being God as the
αὐτοῦ τῆς εὐεργεσίας εὐμιμήτως ἀνειλημμένον ἐνέργειάν
of-him of-the beneficence in-fitting-imitation having-taken-up activity
τε καὶ ἰδιότητα. Καὶ εἰ Θεὸς ὁ πτωχὸς, διὰ τὴν τοῦ
both and property and if God the poor(-man) because-of the of-the
δι᾽ ἡμᾶς πτωχεύσαντος Θεοῦ συγκατάβασιν, καὶ εἰς
because-of us having-become-poor God condescension and into
ἑαυτὸν ἑκάστου συμπαθῶς ἀναδεχομένου πάθη, καὶ μέχρι
himself of-each sympathetically taking-up sufferings and until

τῆς συντελείας τοῦ αἰῶνος, κατὰ τὴν ἀναλογίαν τοῦ ἐν
the consummation of-the age according-to the proportion of-the in
ἑκάστῳ πάθους, ἀεὶ δι᾽ ἀγαθότητα πάσχοντος μυστικῶς·
each suffering always because-of goodness suffering mystically
πλέον δηλονότι κατὰ τὸν εἰκότα λόγον ἔσται Θεὸς, ὁ
more plainly according-to the fitting reason will-be God the(-one)
κατὰ μίμησιν τοῦ Θεοῦ διὰ φιλανθρωπίαν τὰ τῶν
according-to imitation — of-God because-of love-of-man the of-the(-ones)
παθόντων πάθη δι᾽ ἑαυτοῦ θεοπρεπῶς ἐξιώμενος·
having-suffered sufferings through himself in-a-way-befitting-God healing
καὶ τὴν αὐτὴν τῷ Θεῷ, κατὰ ἀναλογίαν τῆς σωστικῆς
and the same — to-God according-to proportion of-the saving
προνοίας, κατὰ διάθεσιν ἔχων δεικνύμενος δύναμιν.
providence according-to disposition having being-shown power
Τίς οὖν ἄρα πρὸς ἀρετὴν οὕτω βραδύς ἐστι καὶ
who then indeed toward virtue so slow is and
δυσκίνητος, ὥστε μὴ ἐφίεσθαι θεότητος, οὕτως εὐώνου τε
hard-to-move so-as not to-desire divinity thus cheap both
καὶ εὐπορίστου καὶ ῥᾳδίας οὔσης τῆς κτήσεως; Ἀσφαλὴς
and easily-procured and easy being the acquisition safe
δὲ τούτων ἐστὶ καὶ ἄσυλος φυλακὴ, καὶ εὐμαρὴς πρὸς
and of-these is and inviolable guard and easy toward
σωτηρίαν ὁδός· ἣς, οἶμαι, χωρὶς κατ᾽ ἀλήθειαν οὐδὲν ἔσται
salvation way which I-think without in truth nothing will-be
τῶν ἀγαθῶν ἀβλαβῶς τῷ ἔχοντι συντηρούμενον· ἡ
of-the goods harmlessly for-the(-one) having preserved the
αὐτοπραγία, εἴτουν ἰδιοπραγία, δι᾽ ἧς τὰ
minding-of-one's-own-business that-is private-conduct through which the(-things)
καθ᾽ ἑαυτοὺς σκοπεῖν τε καὶ διασκέπτεσθαι μόνους
concerning ourselves to-consider both and to-examine alone
μανθάνοντες, τοῦ παρ᾽ ἄλλων διακενῆς βλάβην ἔχειν
learning from-the from others in-vain harm to-have

ἐλευθερούμεθα. Εἰ γὰρ ἑαυτοὺς μόνους ὁρᾷν τε καὶ ἐτάζειν
we-are-freed if for ourselves alone to-see both and to-examine
μάθοιμεν, οὐδέποτε τοῖς τῶν ἄλλων, ὡς δ' ἂν ἔχοντα
we-should-learn never to-the(-things) of-the others as and — having
τύχωσιν; ἐπιθησόμεθα· γινώσκοντες ἕνα μόνον κριτὴν σοφόν
they-happen we-will-attack knowing one only judge wise
τε καὶ δίκαιον τὸν Θεὸν, τὸν σοφῶς τε καὶ δικαίως πάντα
both and just — God the wisely both and justly all
τὰ γινόμενα κρίνοντα· καθ' ὃν γεγένηται λόγον,
the(-things) happening judging according-to which it-has-happened principle
ἀλλ' οὐ καθ' ὃν πεφανέρωται τρόπον· ὃν ἴσως ἂν
but not according-to which it-has-been-manifested way which perhaps —
δύναιντο καὶ ἄνθρωποι κρίνειν, ἀμυδρῶς εἰς τὸ φαινόμενον
could also men judge dimly into the appearing
βλέποντες· περὶ ὃ οὐ πάντως ἐστὶν ἡ ἀλήθεια, οὐδὲ
looking about which not surely is the truth nor
τῶν γινομένων ὁ λόγος. Ὁ δὲ Θεὸς, τὸ ἀφανές τε
of-the(-things) happening the principle — and God the hidden both
κίνημα τῆς ψυχῆς, καὶ τὴν ἀόρατον ὁρμὴν, καὶ τὸν λόγον
movement of-the soul and the invisible impulse and the principle
αὐτὸν, καθ' ὃν ὥρμηται ἡ ψυχὴ, καὶ τὸν τοῦ λόγου,
itself according-to which has-been-impelled the soul and the of-the principle
σκοπόν· τουτέστι, τὸ παντὸς πράγματος προεπινοούμενον
aim that-is the of-every thing pre-conceived
τέλος βλέπων, κρίνει δικαίως, ὡς ἔφην, πάντα τὰ
end seeing judges justly as I-said all the(-things)
παρα τῶν ἀνθρώπων πραττόμενα· ὅπερ εἰ κατορθῶσαι
by the men being-done which if to-achieve
σπουδάσομεν, καὶ ἑαυτοῖς ἑαυτοὺς περιορίσομεν τοῖς
we-will-be-zealous and to-ourselves ourselves we-will-limit to-the(-things)
ἐκτὸς οὐκ ἐπιφυόμενοι, οὔτε ὁρᾷν, οὔτε ἀκούειν, οὔτε
outside not growing-upon neither to-see nor to-hear nor

λαλεῖν, τὸν ὀφθαλμὸν, ἢ τὸ οὖς, ἢ τὴν γλῶσσαν τὰ
to-speak the eye or the ear or the tongue the(-things)
τῶν ἄλλων ἀφήσομεν, εἰ μὲν οἷόν τέ ἐστι, παντελῶς· εἰ
of-the others we-will-allow if indeed possible — it-is completely if
δὲ μήγε, συμπαθῶς μᾶλλον, ἀλλ' οὐ μὴ ἐμπαθῶς τούτοις
and not-at-least sympathetically rather but not — passionately in-these
ἐνεργεῖν, καὶ εἰς κέρδος ἡμέτερον ὁρᾷν τε, καὶ ἀκούειν,
to-work and for gain our to-see both and to-hear
καὶ λαλεῖν ἐπιτρέποντες· καὶ τοσοῦτον μόνον, ὅσον τῷ
and to-speak permitting and so-much only as-much-as to-the
ἡνιοχοῦντι ταῦτα θείῳ λόγῳ δοκεῖ. Οὐδὲν γὰρ τούτων τῶν
driving these divine reason it-seems nothing for of-these the
ὀργάνων πρὸς ἁμαρτίαν ἐστὶν εὐολισθότερον, μὴ λόγῳ
instruments toward sin is more-slippery not by-reason
παιδαγωγουμένων· καὶ οὐδὲν πάλιν πρὸς σωτηρίαν αὐτῶν
being-trained and nothing again toward salvation than-they
ἑτοιμότερον, τάσσοντος αὐτὰ τοῦ λόγου, καὶ ῥυθμίζοντος
readier ordering them the reason and regulating
καὶ ἐφ' ἃ δεῖ καὶ βούλεται ἄγοντος.
and to which(-things) it-must and wishes leading
Μὴ τοίνυν ἀμελήσωμεν κατὰ δύναμιν τοῦ πείθεσθαι τῷ
not therefore let-us-neglect according-to power the to-obey —
Θεῷ, καλοῦντι ἡμᾶς εἰς ζωὴν αἰώνιον καὶ μακάριον τέλος,
God calling us into life eternal and blessed end
διὰ τῆς ἐργασίας τῶν αὐτοῦ θείων τε καὶ σωτηρίων
through the working of-the of-him divine both and saving
ἐντολῶν· ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν
commandments that we-may-receive mercy and grace we-may-find
εἰς εὔκαιρον βοήθειαν· Ἡ γὰρ χάρις, φησὶν ὁ θεῖος
for timely help the for grace says the divine
Ἀπόστολος, μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον
Apostle with all the(-ones) loving the Lord

ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ· τουτέστι, τῶν
of-us Jesus Christ in incorruption that-is of-the(-ones)
μετὰ τῆς κατ᾽ ἀρετὴν ἀφθαρσίας, καὶ τῆς κατὰ τὸν
with the according-to virtue incorruption and the according-to the
βίον καθαρᾶς τε καὶ ἀνυποκρίτου σεμνότητος ἀγαπώντων
life pure both and unfeigned dignity loving
τὸν Κύριον, ἐν τῷ ποιεῖν αὐτοῦ τὰ θελήματα· καὶ μὴ
the Lord in the to-do of-him the wills and not
παραφθειρόντων τι τῶν θείων αὐτοῦ προσταγμάτων.
corrupting anything of-the divine of-him commands
Ταῦτα μὲν ἐγὼ περὶ τούτων διὰ τὸν τῆς ὑπακοῆς
these(-things) indeed I about these because-of the of-the obedience
μισθὸν, κατὰ δύναμιν, ὡς ἐδιδάχθην, ἐξεθέμην, τῶν
wage according-to power as I-was-taught set-forth the
μυστικωτέρων τε καὶ ὑψηλοτέρων ἅψασθαι μὴ τολμήσας·
more-mystical both and higher(-things) to-touch not having-dared
ἅπερ εἰ ποθεῖ τις γνῶναι τῶν φιλομαθῶν, τοῖς
which if longs anyone to-know of-the learning-lovers the(-things)
περὶ τούτων τῷ ἁγίῳ Διονυσίῳ τῷ Ἀρεοπαγίτῃ ἐνθέως
about these by-the holy Dionysius the Areopagite inspiredly
πονηθεῖσιν ἐντύχοι, καὶ εὑρήσει κατ᾽ ἀλήθειαν μυστηρίων
labored let-him-meet and he-will-find in truth of-mysteries
ἀῤῥήτων ἀποκάλυψιν, διὰ τῆς θείας αὐτοῦ καὶ διανοίας
ineffable revelation through the divine of-him both thought
καὶ γλώττης χαρισθεῖσαν τῷ τῶν ἀνθρώπων γένει, διὰ
and tongue granted to-the of-the men race because-of
τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Καὶ εἰ μὲν
the(-ones) going-to inherit salvation and if indeed
πολὺ τῆς ὑμῶν ἐπιθυμίας οὐκ ἀποπέπτωκε, τῷ Χριστῷ
much of-the your desire not has-fallen-short — to-Christ
χάρις τῷ χορηγῷ τῶν καλῶν, καὶ ὑμῖν τοῖς λεχθῆναι
thanks to-the provider of-the good(-things) and to-you the(-ones) to-be-said

ταῦτα βιασαμένοις. Εἰ δὲ μακράν που καὶ πολὺ τῆς
these(-things) having-forced if and far somewhere and much of-the
ἐλπίδος ἀπολείπεται· τί πάθω, ἢ τί δράσω, περὶ τὸ
hope falls-short what will-I-suffer or what will-I-do about the
λέγειν ἀσθενήσας; Συγγνωστὸν γὰρ, οὐ τιμωρητὸν, ἡ
to-speak having-been-weak pardonable for not punishable the
ἀσθένεια· καὶ ἀποδεκτὸν μᾶλλον, ἀλλ' οὐ μεμπτὸν τὸ
weakness and acceptable rather but not blameworthy the
ἐγχωροῦν καὶ ἐνδεχόμενον· καὶ μάλισθ' ὑμῖν, τοῖς ἀγαπᾷν
possible and admissible and most-of-all to-you the(-ones) to-love
διὰ τὸν Θεὸν προθεμένοις. Καὶ Θεῷ δὲ φίλον τὸ
because-of — God having-resolved and to-God too dear the
κατὰ δύναμιν ἅπαν γνησίως ἐκ ψυχῆς προσαγόμενον,
according-to power all genuinely from soul offered
κἂν μικρὸν συγκρίσει μεγάλων ὑπάρχον φανήσεται· ὃς
even-if small by-comparison of-great(-things) being it-will-appear who
οὐδὲ τὴν χήραν, τὰ δύο λεπτὰ προσκομίσασαν, ἀπεώσατο·
not-even the widow the two mites having-brought rejected
ἥτις ποτὲ ἦν ἡ χήρα αὕτη, καὶ τὰ δύο λεπτά· εἴτε
who ever was the widow this and the two mites whether
ψυχὴ κακίας χηρεύουσα, καὶ ὥσπερ ἄνδρα τὸν παλαιὸν
soul from-vice widowed and as-it-were husband the old
μὲν ἀποβαλομένη νόμον, οὔπω δὲ τῆς πρὸς τὸν Λόγον
indeed having-cast-off law not-yet and of-the toward the Word
καὶ Θεὸν ἄκρας συναφείας ἀξία· προσάγουσα δὲ ὅμως
and God highest union worthy offering and nevertheless
αὐτῷ ἀῤῥαβῶνος λόγῳ ὥσπερ λεπτὰ, τὸν τέως σύμμετρον
to-him of-pledge by-way as-it-were mites the hitherto proportionate
λόγον καὶ βίον· ἢ πίστιν καὶ ἀγαθὴν συνείδησιν· ἢ τὴν
reason and life or faith and good conscience or the
περὶ τῶν καλῶν ἕξιν καὶ ἐνέργειαν· ἢ τὴν τούτοις
about the good(-things) habit and activity or the to-these

πρόσφορον θεωρίαν καὶ πρᾶξιν· ἢ τὴν ἀνάλογον γνῶσιν
fitting contemplation and action or the proportionate knowledge
καὶ ἀρετήν· ἢ τοὺς μικρὸν ὑπὲρ ταῦτα, φημὶ δὲ τοὺς
and virtue or the(-ones) a-little beyond these I-mean and the
ἐν τῷ φυσικῷ καὶ τῷ γραπτῷ νόμῳ λόγους, οὓς ἡ
in the natural and the written law principles which the
ψυχὴ κεκτημένη, κατ' ἔκστασιν τούτων καὶ ἄφεσιν ὡς
soul having-acquired by ecstasy of-these and release as
ὅλου βίου καὶ ζωῆς, μόνῳ συναφθῆναι τῷ Λόγῳ καὶ
of-whole life and living only to-be-joined to-the Word and
Θεῷ βουλομένη, προσάγει· καὶ τῶν κατὰ φύσιν καὶ
God wishing offers and from-the according-to nature and
νόμον βιαίων τρόπων τε καὶ θεσμῶν καὶ ἐθῶν, ὥσπερ
law forcible ways both and ordinances and customs as-it-were
ἀνδρῶν χηρεύειν δέχεται· εἴτε τι ἄλλο τούτων
from-husbands to-be-widowed accepts or something other than-these
πνευματικώτερον, καὶ μόνοις θεωρητὸν τοῖς καθαροῖς
more-spiritual and only contemplated by-the pure
τὴν διάνοιαν, διὰ τοῦ καθ' ἱστορίαν πληρωθέντος
in-the thought through the according-to history fulfilled
γράμματος ὁ λόγος αἰνίττεται. Πάντα γὰρ τῷ κατὰ
letter the word hints all for with-the according-to
θεολογίαν ἐποπτικῷ συγκρινόμενα λόγῳ, τὰ ἐν
theology contemplative compared principle the(-things) among
ἀνθρώποις δοκοῦντα κατ' ἀρετὴν εἶναι μεγάλα, μικρὰ
men seeming according-to virtue to-be great small
τυγχάνει. Πλήν γε ὅτι κἂν μικρὰ, καὶ ἐξ ὕλης
are but at-least that even-if small and from material
εὐτελοῦς καὶ οὐ πολὺ τιμίας· ἀλλ' οὖν τοῖς ἐκ χρυσοῦ
cheap and not much precious but nevertheless with-the from gold
νομίσμασι τῆς ἐν ὕλαις τιμιωτέρας, ἃ προσφέρουσιν
coins of-the among materials more-precious which offer

οἱ εὐπορώτεροι, κατὰ τὸ ἴσον τὸν βασιλικὸν χαρακτῆρα
the more-wealthy according-to the equal the royal stamp
φέροντα, κατὰ [καὶ τὸ] πλέον ἴσως ἔχοντα τῆς
bearing according-to also the more perhaps having of-the(-one)
προσαγούσης τὴν ἐξ ὅλης διαθέσεως πρόθεσιν.
offering the from whole disposition purpose
Ταύτην κἀγὼ μιμούμενος τὴν χήραν, Θεῷ τε καὶ ὑμῖν,
this I-too imitating the widow by-God both and by-you
ἠγαπημένοι, τὰ μικρὰ ταῦτα καὶ εὐτελῆ, καὶ ἐξ εὐτελοῦς
O-beloved the small these and cheap and from cheap
καὶ πτωχῆς διανοίας καὶ γλώσσης προενηνεγμένα νοήματά
and poor thought and tongue brought-forth concepts
τε καὶ ῥήματα ὥσπερ λεπτὰ, περὶ ὧν ἐκελεύσατε,
both and words as-it-were mites about which you-commanded
προσενήνοχα· παρακαλῶν τὴν εὐλογημένην ὑμῶν καὶ ἁγίαν
I-have-offered exhorting the blessed of-you and holy
ψυχήν· πρῶτον μὲν, μηδενὸς ἔτι τῶν παρ' ἐμοῦ
soul first indeed of-nothing further of-the(-things) by me
λεγομένων ἔγγραφον ζητῆσαι σημείωσιν, δυοῖν ἕνεκεν· ἑνὸς
said written to-seek notation of-two for-the-sake-of of-one
μὲν, ὅτι μηδέπω τὸν φόβον ἐκτησάμην τοῦ Θεοῦ τὸν ἁγνὸν
indeed that not-yet the fear I-acquired — of-God the pure
καὶ διαμένοντα, οὐδ' ἀρετῆς ἕξιν στερέμνιον καὶ δικαιοσύνης
and enduring nor of-virtue habit solid and of-righteousness
ἀληθοῦς πῆξιν σταθερὰν καὶ ἀσάλευτον, τὰ μαρτυροῦντα
true fixity firm and unshaken the(-things) witnessing
μάλιστα τοῖς λόγοις τὸ βέβαιον· ἑτέρου δὲ, ὅτι πολλῷ
most-of-all to-the words the firmness of-other and that with-great
κλύδωνι παθῶν ἔτι δίκην θαλάσσης ἀγρίας περιδονούμενος,
surge of-passions still like of-sea wild being-whirled-about
καὶ πολὺ τοῦ θείου ἀπαθείας ἀπέχων λιμένος, καὶ ἄδηλον
and far from-the divine dispassion being-distant harbor and uncertain

ἔχων τοῦ βίου τὸ πέρας, οὐ βούλομαι πρὸς τοῖς ἔργοις καὶ
having of-the life the end not I-wish besides the works also
τὸν ἐν γράμμασι λόγον ἔχειν κατήγορον. Ἔπειτα δὲ τῆς
the in writings word to-have accuser then and of-the
εὐπειθείας χάριν, εἰ δέον ἐστὶν, ἀποδεξάμενοι, Χριστῷ με
obedience for-the-sake if needful it-is having-accepted to-Christ me
δι᾽ εὐχῶν παράθεσθε, τῷ μεγάλῳ καὶ μόνῳ Θεῷ καὶ
through prayers commend to-the great and only God and
Σωτῆρι τῶν ἡμετέρων ψυχῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος,
Savior of-the our souls to-whom the glory and the might
σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.
with the Father and the holy Spirit to the ages Amen
